* ΕΥΕΡΓΕΤΙΝΟΣ *

ἤτοι

ΣΥΝΑΓΩΓΗ

ΤΩΝ ΘΕΟΦΘΟΓΓΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΔΙΔΑΣΚΑΛΙΩΝ

ΤΩΝ ΘΕΟΦΟΡΩΝ ΚΑΙ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ :—

Ἀπὸ πάσης Γραφῆς θεοπνεύστου συναθροισθεῖσα

ΟΙΚΕΙΩΣ ΤΕ ΚΑΙ ΠΡΟΣΦΟΡΩΣ ΕΚΤΕΘΕΙΣΑ ΠΑΡΑ

ΠΑΥΛΟΥ ΤΟΥ ΟΣΙΩΤΑΤΟΥ ΜΟΝΑΧΟΥ

καὶ κτήτορος Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος,

ΚΑΙ ΕΥΕΡΓΕΤΙΝΟΥ ΕΠΙΚΑΛΟΥΜΕΝΟΥ

Ἐκδιδομένη τὸ πρῶτον μετὰ πλήρους ἑρμηνείας εἰς τὴν ἁπλῆν Ἑλληνικὴν τῶν ἐμπεριεχομένων κειμένων

Εἰκονογραφημένη κατὰ τὴν παράδοσιν

Πεπλουτισμένη διὰ πλείστων ὑπομνημάτων :



ἘΚΔΟΣΙΣ ἝΚΤΗ

∴ ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ ∴

ἐκδίδεται

ἀναλώμασι καὶ ἐπιμελείᾳ

ὑπὸ τοῦ Ἐπισκόπου Οἰνόης

ΜΑΤΘΑΙΟΥ ΛΑΓΓΗ


ᾳλπε Ἀθῆναι 1985



Μεγαλυνάριον τοῦ Ἁγίου.

Χαίροις τῶν Ὁσίων ὁ ἀρχηγός, καὶ τῆς ἰσαγγέλου, πολιτείας καθηγητής· χαίροις τῆς ἐρήμου, στυλοειδὴς νεφέλη, Ἀντώνιε παμμάκαρ, Πατέρων καύχημα.

Ὁ ὍΣΙΟΣ ΠΑΛΛΑΔΙΟΣ





ΥΠΟΘΕΣΙΣ Α΄

Ὅτι τῷ Μοναχῷ, ἡ ἀκτημοσύνη ἐπήγγελται, καὶ τί τὸ τοῦ ἀπροσπαθοῦς γνώρισμα, καὶ πῶς οἱ Πατέρες ταύτην κατώρθωσαν.

Ὅτι ὁ Μοναχὸς ἔχει ὑποσχεθῆ τὴν ἀκτημοσύνην· ποῖον εἶναι τὸ γνώρισμα τοῦ μὴ θέλοντος νὰ ἔχῃ ὑλικὰ ἀγαθά, καὶ πῶς κατώρθωσαν τὴν ἀκτημοσύνην οἱ Πατέρες.

Α΄. Τοῦ Ἁγίου Παλλαδίου.



ΙΗΓΗΣΑΤΟ μοι ἡ μακαρία Μελάνη, ὅτι ἐν ἀρχαῖς παραγενομένη ἀπὸ Ῥώμης εἰς Ἀλεξάνδρειαν, καὶ ἀκούσασα περὶ τῆς ἀρετῆς τοῦ Ἀββᾶ Παμβὼ παρὰ τοῦ μακαρίου Ἰσιδώρου τοῦ ξενοδόχου, ὅς καὶ ὡδήγησέ με πρὸς αὐτὸν εἰς τὴν ἔρημον, προσήνεγκα αὐτῷ ἀργενταρίαν τριακοσίων λιτρῶν ἀργυρίου, παρακαλέσασα αὐτὸν ἐκ τῶν πραγμάτων μου μετασχεῖν.

2. Ὁ δέ, φησι, καθεζόμενος καὶ πλέκων θαλλούς, καὶ μηδόλως ἀνανεύσας, ἢ κἂν προσχὼν τῷ σκεύει τῆς θήκης, εὐλόγησέ με φωνῇ μεγάλῃ εἰπών· ὁ Θεὸς δώῃ σοι τὸν μισθόν· καὶ λέγει τῷ οἰκονόμῳ αὐτοῦ Ὠριγένει· δέξαι καὶ διοίκησον αὐτὰ πᾶσι τοῖς κατὰ Λιβύην καὶ Πεντάπολιν, καὶ τοῖς ἐν ταῖς νήσοις ἀδελφοῖς· ταῦτα γὰρ τὰ Μοναστήρια πένεται πλέον παρὰ τὰ ἄλλα.

3. Μετὰ μικρὸν οὖν, φησι, τελευτᾶν μέλλων οὗτος ὁ Ἅγιος, μεταστειλάμενός με, τὴν τελευταίαν σπυρίδα ἀπαρτίζων, λέγει μοι· δέξαι τὴν σπυρίδα ταύτην ἐκ τῶν χειρῶν μου, ἵνα μέμνησαί μου, ἄλλο γάρ σοι καταλεῖψαι οὐκ ἔχω, καὶ ἐκλιμπάνει ἀπύρεκτος.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ ΜΕΛΑΝΗ (λέγει ὁ Ἅγιος Παλλάδιος) μοῦ διηγήθη τὸ ἑξῆς περιστατικόν: Κατὰ τὴν πρώτην μου περιοδείαν ἔφθασα εἰς Ἀλεξάνδρειαν, προερχομένη ἀπὸ τὴν Ρώμην. Ἐκεῖ ἔμαθα, ἀπὸ τὸν μακάριον Ἰσίδωρον τὸν Ξενοδόχον, διὰ τὴν ἀρετὴν τοῦ Ἀββᾶ Παμβώ. Ἐπὶ πλέον, κατὰ παράκλησίν μου, ὁ Ἰσίδωρος μὲ συνώδευσε μέχρι τοῦ περιφήμου αὐτοῦ Ἀσκητοῦ.

Ἀφοῦ λοιπὸν ἐκαθίσαμεν ὀλίγον εἰς τὸ κελλίον τοῦ Ἀσκητοῦ, τοῦ προσέφερα ἕνα κιβώτιον, ποὺ περιεῖχε διάφορα ἀργυρᾶ ἀντικείμενα ἀξίας τριακοσίων λιτρῶν ἀργύρου καὶ τὸν παρεκάλεσα νὰ πάρῃ ἐξ αὐτῶν ὅσα θέλει.

2. Ὁ Ἅγιος Παμβώ, χωρὶς καθόλου νὰ ὑψώσῃ τὸ βλέμμα του διὰ νὰ περιεργασθῇ τὸ κιβώτιον, καὶ ἐξακολουθῶν νὰ πλέκῃ τὸ χόρτον διὰ τὴν κατασκευὴν τοῦ ζεμπιλιοῦ, μὲ εὐλόγησε ἀπὸ τὴν θέσιν του καὶ μοῦ εἶπε μὲ μεγάλην φωνήν:

—Ὁ Θεὸς νὰ σοῦ ἀνταποδώσῃ τὸν μισθόν σου.

Ἐν συνεχείᾳ ὁ μακάριος Παμβὼ ἐκάλεσε τὸν ὑποτακτικόν του Ὠριγένην καὶ τοῦ λέγει:

—Πάρε αὐτὰ καὶ φρόντισε νὰ τὰ διαμοιράσῃς εἰς τοὺς Μοναχοὺς καὶ τὰ Μοναστήρια, ποὺ εὑρίσκονται εἰς τὴν Λιβύην καὶ τὴν Πεντάπολιν καὶ εἰς τὰς νήσους, διότι αὐτὰ τὰ Μοναστήρια εἶναι πτωχότερα ἀπὸ ὅλα τὰ ἄλλα.

3. Συνεχίζουσα τὴν διήγησίν της περὶ τοῦ αὐτοῦ Ἀσκητοῦ ἡ Ὁσία Μελάνη εἶπε καὶ τοῦτο.

—Μετὰ ἀπὸ ὀλίγον, ὅταν ἐπρόκειτο νὰ ἀποθάνῃ, ἔστειλε καὶ μὲ ἐκάλεσε πλησίον του, ἐνῷ ἐτελείωνε τὸ τελευταῖον ζεμπίλι. Συγχρόνως μοῦ εἶπε· «Πάρε αὐτὸ τὸ ζεμπίλι ἀπὸ τὰ χέρια μου, διὰ νὰ μὲ ἐνθυμῆσαι· δὲν ἔχω τίποτε ἄλλο νὰ σοῦ ἀφήσω».

Ἀπεδήμησε δὲ ὁ Ὅσιος συντόμως, χωρὶς νὰ ἀσθενήσῃ καὶ χωρὶς νὰ παρουσιάσῃ οὐδὲ τὸν ἐλάχιστον πυρετόν.

Β'. Γρηγορίου τοῦ Διαλόγου.

ΙΣΑΑΚ τις ἀνὴρ εὐλαβής, ἐκ τῆς Συρίας εἰς τὴν Ῥώμην ἐλθών, καὶ ἐν τῇ Ἐκκλησίᾳ παραγενόμενος, τοὺς προσμοναρίους ᾐτήσατο ἵνα ὅσην θέλει ἄδειαν προσεύχεσθαι παράσχωσιν αὐτῷ· σταθεὶς οὖν ἐν τῇ εὐχῇ, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας διήνυσεν ἀδιαλείπτως εὐχόμενος.

2. Εἷς δὲ τῶν προσμοναρίων τοῦτο θεασάμενος, ὡς φιλενδείκτην καὶ ἀνθρωπάρεσκον ἐξουθενήσας, εἶτα καὶ ῥαπίσματι αὐτὸν ἔτυψεν· αἴφνης δὲ πνεῦμα πονηρὸν εἰς αὐτὸν εἰσελθόν, εἰς τὰ ἴχνη τοῦ δικαίου ἔῤῥιψε, καὶ διὰ τοῦ στόματος αὐτοῦ κράζειν ἤρξατο, Ἰσαὰκ μὲ ἐκβάλλει.

3. Εὐθέως οὖν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ἐπιτιμήσας τῷ πονηρῷ πνεύματι, ἀπὸ τοῦ ἀνθρώπου ἐξήλασε· καὶ τοῦ θαύματος διαβοηθέντος ἐν πάσῃ τῇ πόλει, ἄνδρες τε καὶ γυναῖκες τῶν εὐγενῶν ὁμοθυμαδὸν πρὸς αὐτὸν ἔτρεχον, σπεύδοντες τίς αὐτῶν ἐν τῷ ἰδίῳ οἴκῳ δυνηθῇ προαρπάσαι τὸν Γέροντα, οἱ μὲν ἐπὶ τὸ ανα-



Ὁ ἈΒΒᾶC ΠΑΜΒΏ
Ἡ ὉCΊΑ ΜΕΛΆΝΗ
Ράλλης Κοψίδης

στῆσαι Μοναστήριον ἀγροὺς προσφέρειν ἐπαγγελλόμενοι, ἕτεροι δὲ χρήματα, ἄλλοι πρὸς τροφὴν ἀναλώματα παρέχειν αὐτῷ ἤθελον.

4. Ὁ δὲ τοῦ Θεοῦ δοῦλος, μηδὲν παρ' αὐτῶν λαβεῖν τὸ σύνολον ἀνασχόμενος, ἐξῆλθε τῆς πόλεως· οὐ πολὺ δὲ μήκοθεν τόπον ἔρημον εὑρών, ἐκεῖσε ἑαυτῷ σεμνὸν κελλίον ᾠκοδόμησε. Πολλοὶ οὖν πρὸς αὐτὸν ἀπερχόμενοι, τῷ ἐκείνου ὑποδείγματι ἤρξαντο εἰς τὸν πόθον τῆς αἰωνίου ζωῆς πυροῦσθαι, καὶ ὑπὸ τῆς αὐτοῦ διδασκαλίας εἰς τὴν τοῦ παντοδυνάμου Θεοῦ δουλείαν ἑαυτοὺς ἐκδεδόκασιν.

5. Ἐδυσώπουν δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ μετὰ ταπεινοφροσύνης, ὅπως διὰ τὴν τοῦ Μοναστηρίου χρείαν τὰ προσφερόμενα αὐτῷ χρήματα δέξηται, αὐτὸς δὲ τῆς ἑαυτοῦ πτωχείας τὴν ψῆφον στερεᾷ φυλακῇ ἐκράτει λέγων· «Μοναχός, ὁ ἐν τῇ γῇ κτῆμα ζητῶν, Μοναχὸς οὐκ ἔστι». Οὕτως οὖν ἐφοβεῖτο τὴν τῆς πτωχείας αὐτοῦ φροντίδα ἀπολέσαι, καθάπερ οἱ σκνιποὶ ἄρχοντες τὰ ἀπολλύμενα χρήματα τῇ φυλακῇ συντηρεῖν εἰώθασιν.

6. Ἐκεῖ τοίνυν οὕτω βιούς, πνεύματι προφητείας κατεκοσμήθη, καὶ πᾶσι τοῖς ἔγγιστα καὶ ἐκ μήκους κατοικοῦσι, διὰ τῶν θαυμάτων ἡ τῆς ζωῆς αὐτοῦ λαμπρότης διεγνώσθη.

Ἑρμηνεία

ΕΝΑΣ εὐλαβὴς ἄνθρωπος, ποὺ ἐλέγετο Ἰσαάκ, ἦλθεν ἀπὸ τὴν Συρίαν εἰς τὴν Ρώμην. Εἰς τὴν Ρώμην κατέφυγεν εἰς τὴν Ἐκκλησίαν καὶ παρεκάλεσε τοὺς προσμοναρίους (1) νὰ τοῦ ἐπιτρέψουν νὰ παραμείνῃ, διὰ νὰ προσευχηθῇ εἰς τὴν Ἐκκλησίαν, ὅσον θέλει. Πράγματι προσηύχετο, χωρὶς διακοπήν, τρία ἡμερόνυκτα.

2. Βλέπων τὸ πρᾶγμα τοῦτο ἕνας προσμονάριος, τὸν ἐχαρακτήρισεν ὡς ἀνθρωπάρεσκον καὶ φίλον τῶν ἐπιδείξεων· ἀφοῦ λοιπὸν τὸν ὕβρισε σκληρῶς, μετὰ τὸν ἐρράπισεν. Ἀλλ', ὢ τοῦ θαύματος! Ἀμέσως εἰς τὸν προσμονάριον αὐτὸν εἰσῆλθεν ὁ διάβολος καὶ τὸν ἔρριψε σφαδάζοντα πρὸ τῶν ποδῶν τοῦ ἐναρέτου αὐτοῦ ἀνθρώπου· τὸ δὲ πονηρὸν πνεῦμα ἔκραζε διὰ τοῦ στόματός του· «Ὁ Ἰσαὰκ θὰ μὲ ἐκβάλῃ».

3. Τότε ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐπετίμησε τὸ πονηρὸν πνεῦμα καὶ τὸ ἐξεδίωξεν ἀπὸ τοῦ ἀνθρώπου. Μόλις ἔγινε γνωστὸν αὐτὸ τὸ θαῦμα εἰς ὁλόκληρον τὴν πόλιν, ὅλοι τότε, ἄνδρες καὶ γυναῖκες, ἔτρεχον ἀπὸ κοινοῦ πρὸς τὸν εὐσεβῆ αὐτὸν ἄνθρωπον. Ἐγένετο δὲ μεταξύ των πραγματικὴ πάλη, ποιὸς νὰ ἠμπορέσῃ νὰ τὸν καλέσῃ πρῶτος εἰς τὸ σπίτι του. Πρὸς τὸν σκοπὸν δὲ αὐτὸν ἄλλοι μὲν τοῦ ἔλεγαν νὰ τοῦ δώσουν χωράφια, διὰ νὰ ἱδρύσῃ Μοναστήριον, ἄλλοι χρήματα καὶ ἄλλοι πάλιν προσεφέροντο νὰ τοῦ χορηγοῦν τὰ ἔξοδα τῆς διατροφῆς.

4. Ὁ πραγματικὸς ὅμως αὐτὸς δοῦλος τοῦ Θεοῦ Ἰσαάκ, δὲν ἐδέχθη νὰ πάρῃ ἀπὸ κανένα ἀπολύτως τίποτε καὶ ἔφυγεν ἔξω ἀπὸ τὴν πόλιν. Εἰς μικρὰν δὲ ἀπόστασιν ἀπὸ τῆς πόλεως εὑρῆκε μίαν ἐρημικὴν τοποθεσίαν καὶ ἐκεῖ ἔκτισε μικρόν τι καὶ πτωχικὸν κελλίον. Ἐν τῷ μεταξὺ πολλοὶ ἤρχοντο πλησίον του καὶ μὲ τὸ παράδειγμά του ἤρχισαν νὰ φλογίζωνται ἀπὸ τὸν πόθον τῆς αἰωνίου ζωῆς καὶ διὰ τῆς διδασκα-

1) Προσμονάριος=φύλαξ τοῦ Ναοῦ.

λίας του παρεδίδοντο ἑκουσίως εἰς τὸ θέλημα τοῦ Παντοδύναμου Θεοῦ, ἀσπαζόμενοι τὴν μοναχικὴν τελειότητα.

5. Οἱ μαθηταί του, μὲ ἄκραν ταπεινοφροσύνην, τὸν παρεκάλουν ἐπιμόνως, χάριν τῶν ἀναγκῶν τοῦ Μοναστηρίου, νὰ δεχθῇ τὰ χρήματα, ποὺ τοῦ προσέφερον. Αὐτὸς ὅμως ἐπέμενεν ἀμετακλήτως εἰς τὴν ἀπόφασιν του, νὰ μὴ ἀπομακρυνθῇ ἀπὸ τὴν πτωχείαν του.

Δι' αὐτὸ ἔλεγε πρὸς τοὺς μαθητάς του· «Μοναχός, ποὺ ζητεῖ νὰ ἀποκτήσῃ κτήματα ἐπάνω εἰς τὴν γῆν, δὲν εἶναι πραγματικὸς Μοναχός». Τόσον πολὺ ἐφοβεῖτο μήπως χάσῃ τὴν ἐκ τῆς πτωχείας καὶ διὰ τὴν πτωχείαν ἐναγώνιον φροντίδα, ὅσον, ἀντιθέτως καὶ οἱ πλανώμενοι ὑπὸ τῆς ματαιότητος ἄρχοντες συνηθίζουν νὰ ἀποκρύπτουν μετὰ προσοχῆς τὰ ὑποκείμενα εἰς τὴν ἀπώλειαν χρήματα.

6. Ἐκεῖ λοιπόν, εἰς τὴν ἐρημικὴν τοποθεσίαν, ἔζησε μὲ στερήσεις καὶ πτωχείαν· δι' αὐτὸ καὶ ὁ Θεὸς τὸν ἠξίωσε καὶ προφητικοῦ χαρίσματος. Ἡ λαμπρότης δὲ τῆς ζωῆς του ἐγένετο εὐρύτατα γνωστὴ καὶ εἰς αὐτούς, ποὺ εὑρίσκοντο μακράν, καὶ εἰς αὐτοὺς ποὺ παρέμενον πλησίον, ἀπὸ τὰ πολλά του θαύματα.

Γ΄. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Μαρκιανοῦ.

Ὁ ΜΕΓΑΣ Μαρκιανός, ὁ τοὺς μεγίστους καὶ ἀσυγκρίτους Ναοὺς τῆς τε Ἁγίας Εἰρήνης καὶ τῆς Ἁγίας Ἀναστασίας τῶν Μαρτύρων, ἐκ βάθρων οἰκοδομήσας, ἀλλὰ καὶ πολλοὺς ἄλλους, τοὺς μὲν νεουργήσας, τοὺς δὲ ἀνακαινίσας, ὃς καὶ Οἰκονόμος τῆς Μεγάλης Ἐκκλησίας ἐτύγχανε, καὶ μεγίστης αἰδοῦς καὶ τιμῆς παρὰ πάντων ἠξιοῦτο, δήμου, βουλῆς, βασιλέως αὐτοῦ, διὰ τὸ τῆς ἀρετῆς αὐτοῦ ἀνυπέρβλητον.

2. Οὗτος ἐξ ἑορτῆς Ἁγίων ἐπιστρέφων ποτέ, ἐπεὶ ὄμβρον καταῤῥαγῆναι συνέβη, διάβροχος γεγονώς, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν καὶ ἐγκλεισάμενος, ἔπειτα ἀποδὺς τὸ ἱμάτιον, ἐπὶ μετρίοις ἄνθραξιν ἀνεξήραινεν.

3. Οὕτω δὲ συμπεσὼν ὁ τότε θεοφιλέστατος Γεννάδιος Ἀρχιερεύς, μετάκλητον αὐτὸν ἐποιεῖτο· οἱ δὲ σταλέντες, κεκλεισμένην εὑρόντες τὴν οἰκίαν, ἔκοπτόν τε τὴν θύραν καὶ ἐξιέναι ἐκέλευον· τὸν δέ, ἡ τοῦ φανῆναι γυμνὸν αἰσχύνη εἴσω μένειν ἐποίει, ἅτε μὴ ἔχοντα ἱμάτιον ἕτερον, ὃ περιβαλλόμενος προέλθῃ. Διὰ τοῦτο ἐπηγγείλατο μὲν τὴν ἔλευσιν, ἔμελλε δὲ καὶ ἔτι, ἕως τῶν παρόντων εἷς, περιεργότερόν τι ποιῶν, καὶ ὀπῇ τινι τὸν ὀφθαλμὸν προσθείς, καὶ τὸ γινόμενον θεασάμενος, αὐτός τε θαύματος ἐπληροῦτο, καὶ τοῖς ἄλλοις μάρτυσι χρήσασθαι τούτου τοῖς ἑαυτῶν ὀφθαλμοῖς παρεσκεύασεν.

4. Ὡς οὖν ἐξέπληξε πάντας τὸ θεαθὲν ἐπανήεσαν καὶ τῷ Πατριάρχῃ πάντα μετὰ θαύματος ἐξεσάφουν. Ὁ δὲ ἀκούσας, οὐ μόνον ἐθαύμασεν, ἀλλὰ καὶ ἐμέμφετο τοῖς ἀπαγγείλασιν, εἰ ἐκ μικρῶν οὕτω πραγμάτων Μέγαν τὸν Μαρκιανὸν κρίνειν ἐγνώκασι, καὶ οὐχὶ μᾶλλον ἐκ πολλῶν ἑτέρων, καὶ οὐδενὶ ἄλλῳ κατορθωθῆναι ῥᾳδίων, θαυμαστὸν ἐκεῖνον λογίζονται καὶ μακάριον.

Ἑρμηνεία

Ὁ ΜΕΓΑΣ ΜΑΡΚΙΑΝΟΣ ἀνήγειρεν ἐκ θεμελίων τοὺς μεγίστους καὶ ἀσυγκρίτους εἰς ὡραιότητα Ναοὺς τῶν Μαρτύρων Ἁγίας Εἰρήνης καὶ Ἁγίας Ἀναστασίας. Ἐκτὸς ὅμως αὐτῶν καὶ πολ-

λοὺς ἄλλους ἐξ ἀρχῆς ἵδρυσε, ὅπως καὶ ἀρκετοὺς ἐπεσκεύασεν. Ἦτο δὲ καὶ Οἰκονόμος τῆς Μεγάλης Ἐκκλησίας, (δηλαδὴ τῆς Ἁγίας Σοφίας). Χάριν δὲ τῆς ὑψηλῆς ἀρετῆς του ὅλοι οἱ ἄνθρωποι, ὁ βασιλεύς, ὁ λαός, ἡ σύγκλητος, τὸν ἐσέβοντο καὶ τὸν ἐτιμοῦσαν.

2. Κάποτε ὁ Μαρκιανὸς αὐτὸς ἐπέστρεφεν εἰς τὸ σπίτι του ἀπὸ μίαν ἑορτὴν Ἁγίων, καθ' ὁδὸν δὲ ἔπεσε ραγδαιοτάτη βροχή, ἡ ὁποία καὶ τὸν κατέβρεξε. Μόλις λοιπὸν εἰσῆλθεν εἰς τὴν οἰκίαν του, ἔκλεισε καλὰ-καλὰ τὴν θύραν, ἔβγαλε τὸ ἱμάτιόν του καὶ τὸ ἐστέγνωνεν ἐπάνω εἰς ὀλίγα κάρβουνα, ποὺ ἤναψε.

3. Κατὰ σύμπτωσιν τὴν ὥραν ἐκείνην ἔστειλεν ὁ Πατριάρχης Γεννάδιος εἰς τὸ σπίτι τοῦ Μαρκιανοῦ ἀνθρώπους, διὰ νὰ τὸν καλέσῃ ἐπειγόντως πλησίον του.

Οἱ ἀπεσταλμένοι τοῦ Γενναδίου, ἀφοῦ εὑρῆκαν τὴν θύραν κλειστήν, τὴν ἐκτυποῦσαν δυνατὰ καὶ ἐφώναζαν τὸν Μαρκιανὸν νὰ ἐξέλθῃ. Ὁ Μαρκιανὸς ὅμως ἔμενε μέσα καὶ δὲν ἔβγαινε, διότι δὲν εἶχεν ἄλλο ἱμάτιον νὰ φορέσῃ καὶ ὡς ἐκ τούτου ἐντρέπετο νὰ παρουσιασθῇ γυμνός. Ἐν τῷ μεταξὺ ἐφώναζεν ἀπὸ μέσα.

—Τώρα ἔρχομαι· κάμετε ὀλίγην ὑπομονήν.

Πλὴν ἐξηκολούθει νὰ καθυστερῇ καὶ νὰ μὴ ἐμφανίζεται. Αὐτὸ ἐκέντησε τὴν περιέργειαν τῶν ἀπεσταλμένων καὶ ἕνας ἀπὸ αὐτούς, ὁ πλέον περίεργος, ἀπεφάσισε νὰ ἴδῃ ἀπὸ μίαν τρύπαν τί συμβαίνει μέσα εἰς τὸν δωμάτιον. Μόλις εἶδε τὴν σκηνὴν τοῦ στεγνώματος καὶ ἀντελήφθη, ὅτι αὐτὸ ὠφείλετο εἰς τὸ ὅ,τι δὲν εἶχεν ἄλλα ἐνδύματα, διὰ νὰ ἀλλάξῃ, ἔμεινε κατάπληκτος, ἐφώναξε δὲ καὶ τοὺς ἄλλους νὰ διαπιστώσουν μὲ τοὺς ὀφθαλμούς των αὐτό, ποὺ εἶδεν ὁ ἴδιος.

4. Τὸ θέαμα αὐτῆς τῆς πτωχείας τοῦ Μαρκιανοῦ διήγειρε τὸν θαυμασμὸν ὅλων, οἱ ὁποῖοι ἐπιστρέψαντες πλησίον τοῦ Πατριάρχου, τοῦ διηγοῦντο κατάπληκτοι ὅσα εἶδον. Ἀκούσας ταῦτα ὁ Πατριάρχης, ὅστις ἐγνώριζε καλῶς τὴν ἁγιότητα τοῦ Μαρκιανοῦ, ὄχι μόνον ἐθαύμασεν, ἀλλὰ καὶ λέγει πρὸς αὐτούς.

—Σᾶς λυποῦμαι, διότι ἀπὸ αὐτὸ μόνον τὸ μικρὸν περιστατικὸν ἐγνωρίσατε τὸν Μέγαν Μαρκιανόν· πρέπει νὰ γνωρίζετε ὅτι πολλὰ ἄλλα κατορθώματα, ποὺ κανεὶς δὲν ἠμπορεῖ νὰ τὰ ἐπιτύχῃ, κατέστησαν πρὸ πολλοῦ τὸν ἄνθρωπον αὐτὸν ἀξιοθαύμαστον καὶ μακάριον.

Δ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀντωνίου.

ΒΛΕΠΩΝ ὁ ἐχθρὸς τὴν πολλὴν πρὸς ἀρετὴν σπουδὴν τοῦ ἀνδρός, καὶ θέλων ἐμποδίσαι ταύτην, εἰς τὸ ὄρος αὐτοῦ ἀπερχομένου, ὑπέβαλεν ἐν ταῖς ὁδοῖς ἀργυροῦ δίσκου μεγάλου φαντασίαν.

2. Ὁ δὲ Ἀντώνιος συνεὶς τοῦ μισοκάλου τὴν τέχνην ἔστη, καὶ πρὸς τὸν δίσκον ἀποβλέπων, τὸν ἐν αὐτῷ διάβολον διήλεγχε λέγων· πόθεν δίσκος ἐν ἐρήμῳ; οὐκ ἔστιν ὁδὸς αὕτη τετριμμένη, οὐκ ἔστιν ἴχνος ὁδευσάντων ὧδε τινῶν, καὶ ἐκπεσὼν οὐκ ἠδύνατο λαθεῖν μέγιστος ὤν, ἀλλὰ καὶ ὁ ἀπολέσας ἀναστρέψας καὶ

ζητήσας εὗρεν ἂν διὰ τὸ ἔρημον εἶναι τὸν τόπον· τοῦτο τέχνη τοῦ διαβόλου ἐστίν. Οὐκ ἐμποδίσεις μοι ἐν τούτῳ τὴν προθυμίαν, διάβολε· τοῦτο γὰρ σὺν σοὶ εἴη εἰς ἀπώλειαν. Καὶ ταῦτα τοῦ Ἀντωνίου λέγοντος, ἐξέλιπεν ὁ δίσκος ὡσεὶ καπνὸς ἀπὸ προσώπου πυρός.

3. Εἶτα πάλιν οὐκέτι φαντασίαν, ἀληθινὸν δὲ χρυσὸν ἐῤῥιμμένον ἐν τῇ ὁδῷ ἑώρακεν ἀπερχόμενος, εἴτε τοῦ ἐχθροῦ δείξαντος, εἴτε τινὸς κρείττονος δυνάμεως γυμναζούσης τὸν Ἀθλητὴν καὶ δεικνυούσης τῷ διαβόλῳ ὅτι μηδὲ τῶν ἀληθινῶν φροντίζειν χρημάτων, οὔτε αὐτὸς ἀπήγγειλεν, οὔτε ἡμεῖς ἔγνωμεν· πλὴν ὅτι χρυσὸς ἦν ἀληθῶς τὸ φαινόμενον.

4. Ὁ δὲ Ἀντώνιος τὸ μὲν πλῆθος ἐθαύμασεν, ὡς δὲ πῦρ ὑπερβὰς οὕτως αὐτῷ παρῆλθεν, ὡς μηδὲ στραφῆναι, ἀλλὰ καὶ δρόμῳ σπουδάσαι τοσοῦτον, ὥστε κρῦψαι καὶ λαθεῖν τὸν τόπον, μᾶλλον οὖν καὶ μᾶλλον ἐπιτείνας τὴν πρόθεσιν, ὥρμησεν εἰς τὸ ὄρος· καὶ παρεμβολὴν ἔρημον καὶ διὰ τὸν χρόνον μεστὴν ἑρπετῶν εὑρὼν εἰς τὸ πέραν τοῦ ποταμοῦ, ᾤκησεν ἐν αὐτῇ.

Ἑρμηνεία

ΒΛΕΠΩΝ ὁ ἐχθρὸς τῆς ψυχῆς μας τὴν μεγάλην φροντίδα τοῦ Μεγάλου Ἀντωνίου διὰ τὴν ἀρετήν, καὶ ἐπιδιώκων νὰ ἀνακόψῃ αὐτὴν τὴν προσπάθειαν, τοῦ ἔστησε τὴν ἑξῆς παγίδα: Μίαν ἡμέραν, κατὰ τὴν ὁποίαν ἐπρόκειτο νὰ ἐπιστρέψῃ εἰς τὸ ὄρος, ὅπου ἠσκήτευε, τοποθετεῖ εἰς τὸν δρόμον ἕνα μεγάλον ἀσημένιον δίσκον, ὁ ὁποῖος βεβαίως ἦτο φαντασία!

2. Ὁ Ἅγιος Ἀντώνιος ὅμως ἀμέσως ἀντελήφθη τοῦ μισοκάλου διαβόλου τὴν τέχνην. Δι᾿ αὐτὸ ἐσταμάτησεν ὀλίγον καὶ ρίψας τὸ βλέμμα του εἰς τὸν δίσκον προσπαθοῦσε νὰ ἐλέγξῃ μετὰ σφοδρότητος τὸν διάβολον, ποὺ μετεμορφώθη εἰς τὸν φαινόμενον δίσκον. Σκεπτικὸς δὲ καὶ ἐλαφρῶς εἰρωνευόμενος τὸν διάβολον ἐμονολόγει:

—Ἀπὸ ποῦ ἠμπορεῖ νὰ εὑρεθῇ δίσκος εἰς τὸν ἔρημον αὐτὸν τόπον; Δὲν ὑπάρχει ἐδῶ κανένα μονοπάτι, οὔτε ἴχνη πατημάτων ἀπὸ διαβάτας· τόσον δὲ μεγάλος, ποὺ εἶναι ὁ δίσκος αὐτός, πίπτων δὲν ἠμποροῦσε νὰ διαφύγῃ τὴν προσοχὴν τοῦ κατόχου του. Ἀλλὰ καὶ ἂν ἀκόμη συνέβαινεν αὐτό, ἦτο πολὺ εὔκολον, εἰς αὐτὸν τὸν ἔρημον τόπον, νὰ τὸν ἀναζητήσῃ ὁ κάτοχος του καὶ νὰ τὸν ἀνεύρῃ. Ὅλα τὰ σημεῖα λοιπὸν δείχνουν, ὅτι εἶναι ὁλοφάνερη παγίδα τοῦ διαβόλου. Δὲν θὰ ἠμπορέσῃς, διάβολε, νὰ ἐμποδίσῃς μὲ αὐτὸν τὸν τρόπον τὴν ἐκπλήρωσιν τῆς ἐπιθυμίας μου. Καὶ σὺ λοιπὸν καὶ ὁ δίσκος σου πηγαίνετε εἰς τὴν ἀπώλειαν.

Ἐνῷ δὲ ἔλεγεν αὐτὰ ὁ Μέγας Ἀντώνιος, ὁ δίσκος ἐχάθη ὅπως ὁ καπνὸς τῆς φωτιᾶς, ἐμπρὸς εἰς τὴν δυνατὴν φλόγα.

3. Ἄλλοτε πάλιν ὁ Μέγας Ἀντώνιος εὗρε καθ᾿ ὁδὸν πραγματικὸν χρυσάφι, ποὺ εἶχε πέσει· ὡς φαίνεται ἢ ὁ διάβολος τοῦ τὸ ὑπέδειξεν ἢ μία ἀνωτέρα δύναμις, ποὺ τὸν μὲν Ἀθλητὴν ἐγύμναζε, εἰς δὲ τὸν διάβολον ἔδειχνε ὅτι ὁ Ἅγιος Ἀντώνιος καὶ διὰ τὰ πραγματικὰ ἀκόμη χρήματα δὲν φροντίζει. Τὸ ζήτημα αὐτό, ἀπὸ ποῦ δηλαδὴ προήρχετο ἡ δοκιμασία τῆς ἀνευρέσεως τοῦ χρυσοῦ, οὔτε ὁ ἴδιος μᾶς τὸ

ἀπεκάλυψεν, οὔτε ἡμεῖς τὸ ἐμάθαμεν. Τὸ γεγονὸς ἦτο, ὅτι ὁ χρυσὸς ἦτο πραγματικός.

4. Ὁ Μέγας Ἀντώνιος λοιπὸν ἐθαύμασε κατ' ἀρχὴν τὴν ποσότητα· ἐν τούτοις παρέτρεξε τόσον σύντομα ἀπὸ τὸ εὕρημα, ὡς νὰ ἦτο ἐπικίνδυνος φωτιά. Καὶ ὄχι μόνον δὲν ἐγύρισε πίσω, διὰ νὰ τὸ ἴδῃ, ἀλλὰ καὶ περιεπλανήθη, μὲ τὴν θέλησίν του, εἰς μακρὰν ἀπόστασιν, ὥστε νὰ τοῦ διαφύγῃ ὁ τόπος τῆς εὑρέσεως τοῦ χρυσοῦ καὶ νὰ τὸν ξεχάσῃ. Ἐπέτεινε δὲ τὴν ἐπιθυμίαν του καὶ κυριολεκτικῶς ἔτρεξε, διὰ νὰ καταφύγῃ εἰς τὸ ὄρος τῆς ἀσκήσεώς του. Διὰ νὰ λησμονήσῃ δὲ τελείως τὸν χρυσὸν παρέμεινεν, ἐπὶ ἕνα διάστημα, εἰς μίαν μικρὰν μάνδραν, πέρα ἀπὸ τὸν ποταμόν, ἡ ὁποία λόγῳ τῆς πολυκαιρίας εἶχε γεμίσει ἀπὸ φίδια καὶ διάφορα ἄλλα ἑρπετά.

Ε΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἐφραίμ.

ΤΩ ΟΣΙΩ Ἐφραὶμ τοσοῦτος συνελέχθη πλοῦτος ἀκτημοσύνης, ὥστε καὶ μάρτυρα ἐπ' αὐτῷ τὸ οἰκεῖον στόμα παραλαβεῖν, καὶ τὰ πρὸς ταῖς ἐσχάταις ἀναπνοαῖς αὐτοῦ ῥήματα· ἔχει δὲ οὕτως: οὐχ ὑπῆρξε τῷ Ἐφραὶμ ποτὲ βαλάντιον, οὐ ῥάβδος, οὐ πήρα, οὔτε μὴν ἀργύριον, οὔτε χρυσίον, ἀλλ' οὐδέ τινα κτῆσιν ἐπὶ τῆς γῆς ἐκτησάμην· τοῦ γὰρ ἀγαθοῦ, φησι, Βασιλέως ἤκουσα ἐν τοῖς Εὐαγγελίοις τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιτάττοντος μηδὲν ἐπὶ τῆς γῆς κτήσασθαι· ὅθεν οὐδὲ ἐμπαθῶς ἔσχον τι τοιοῦτον.

Ἑρμηνεία

ΟΟΣΙΟΣ Ἐφραὶμ τόσον πολὺ ἐπέτυχε τὴν ἀρετὴν τῆς ἀκτημοσύνης, ὥστε διὰ τὸν πλοῦτον αὐτὸν μάρτυς ὑπῆρξε τὸ ἴδιον στόμα του. Ὅταν εὑρίσκετο εἰς τὰς τελευταίας στιγμὰς τῆς ζωῆς του, αἱ λέξεις μὲ τὰς ὁποίας ἐξεψυχοῦσεν ἦσαν αἱ ἑξῆς:

—Ὁ Ἐφραὶμ ποτὲ δὲν εἶχε βαλάντιον (πορτοφόλι), οὔτε ῥαβδί, οὔτε σακκούλι, οὔτε ἀσημένια, οὔτε χρυσᾶ νομίσματα· εἰς τὴν γῆν κανένα κτῆμα δὲν ἀπέκτησα. Τοῦτο δὲ διότι ἔδωσα ἐμπιστοσύνην εἰς τὸν καλὸν Βασιλέα, ποὺ διατάσσει τοὺς μαθητάς του εἰς τὸ Ἅγιον Εὐαγγέλιον, νὰ μὴ ἀποκτήσουν τίποτα ἐπάνω εἰς τὴν γῆν (1). Δι' αὐτὸ καὶ ἐγὼ οὐδέποτε ἀπέκτησα τὸ πάθος νὰ συγκεντρώσω ὑλικὰ ἀγαθά.

ϛ΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς.

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητικὴ πρὸς τὰς συνειλεγμένας, ὅτι ἡ ἀκτημοσύνη τέλειον ἀγαθόν ἐστι ταῖς δυναμέναις· αἱ γὰρ ὑπομένουσαι ταύτην, θλῖψιν μὲν ἔχουσι τῇ σαρκί, τῇ δὲ ψυχῇ ἄνεσιν· ὥσπερ γὰρ τὰ στερεὰ ἱμάτια πατούμενα καὶ βιαίως περιστρεφόμενα πλύνεται, οὕτω καὶ ἡ ἰσχυρὰ ψυχή, διὰ τῆς ἑκουσίου πενίας ἐπὶ πλέον κρατύνεται.

---

1) «Μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ χαλκὸν εἰς τὰ ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδὸν μηδὲ δύο χιτῶνας μηδὲ ὑποδήματα μηδὲ ῥάβδον . . . .» (Ματθ. ι΄, 9—10).

2. Αἱ δὲ ἀσθενέστερον τὸν λογισμὸν ἔχουσαι, τὸ ἐναντίον πάσχουσι· καὶ γὰρ πρὸς ὀλίγον θλιβεῖσαι, ὥσπερ τὰ διεῤῥωγότα ἱμάτια ἀπόλλυνται, μὴ φέρουσαι τὴν δι' ἀρετῆς πλύσιν, καὶ μία μὲν ἐπ' ἀμφοτέρων ἡ τέχνη τῆς πλύσεως, καὶ εἷς ὁ τεχνίτης, διάφορον δὲ τῶν ἱματίων τὸ τέλος· τὰ μὲν γὰρ ῥήγνυται, καὶ ἀπόλλυται, τὰ δὲ λευκαίνεται κα ἀνακαινίζεται· ὄντως οὖν ἀγαθὸν κειμήλιον ἡ ἀκτημοσύνη τῷ ἀνδρείῳ φρονήματι, καὶ γὰρ τῶν διὰ πράξεως ἁμαρτημάτων χαλινὸς ὑπάρχει.

3. Δεῖ δὲ πρῶτον ἐγγυμνασθῆναι τοῖς πρώτοις, λέγω δὲ νηστείᾳ, καὶ χαμευνίᾳ, καὶ τοῖς ἄλλοις τοῖς κατὰ μέρος, καὶ οὕτω ταύτην τὴν ἀρετὴν κτήσασθαι· οἱ γὰρ μὴ οὕτω ποιήσαντες, ἀθρόως δὲ ἐπὶ τὴν ἀποβολὴν τῶν χρημάτων δραμόντες, πολλάκις μεταμέλῳ ἑάλωσαν· ὄργανα γάρ ἐστι τοῦ ἀπολαυστικοῦ βίου τὰ χρήματα.

4. Ἄνελε οὖν πρῶτον τὴν σεαυτοῦ τέχνην, τουτέστι τὴν γαστριμαργίαν, καὶ τὸ ἁβροδίαιτον, καὶ τότε εὐκόλως δυνήσῃ σαυτοῦ περιτέμνειν τὴν τῶν χρημάτων ὕλην· βαρὺ γὰρ οἶμαι τέχνης παρούσης, ὄργανα μὴ τυγχάνειν· ὁ γὰρ μὴ ἀποβαλὼν τὸ πρῶτον, πῶς τὸ δεύτερον ἐξῶσαι δυνήσεται;

5. Διὰ τοῦτο καὶ ὁ Σωτὴρ πρὸς τὸν πλησίον διαλεγόμενος, οὐκ ἀθρόως αὐτῷ τὴν ἀποβολὴν τῶν χρημάτων προστάττει, ἀλλὰ πρῶτον ἐρωτᾷ αὐτὸν εἰ τὰ τοῦ νόμου πεποίηκε, πρόσωπον γνησίου διδασκάλου ἀναδεξάμενος, καὶ οἱονεὶ φάσκων· εἰ τὰ στοιχεῖα ἔμαθες, εἰ τὰς συλλαβὰς παρείληφας, εἰ τῶν ὀνομάτων ἐν ἐπιστήμῃ γέγονας, δεῦρο λοιπὸν ἐπὶ τὴν τελειοτάτην ἀνάγνωσιν· τουτέστιν εἰ τὰ νομικὰ ἐτέλεσας παραγγέλματα, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι· τάχα γὰρ εἰ μὴ ἐκεῖνα πεποιηκέναι ὑπέσχετο, οὐκ ἂν αὐτὸν ἐπὶ τὴν ἀκτημοσύνην προετρέψατο.

6. Καλὴ οὖν ἡ ἀκτημοσύνη, τοῖς ἐν ἕξει τῶν καλῶν γενομένοις. Πάντων γὰρ τῶν περιττῶν τὴν ἀποβολὴν ποιησάμενοι, ἀεὶ πρὸς τὸν Κύριον ἀποβλέπουσι, λέγοντες καὶ αὐτοὶ τὸ τοῦ ψαλμῳδοῦ· «οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν τοῖς ἀγαπῶσί σε ἐν εὐκαιρίᾳ»· οὗτοι τῆς πίστεως τὴν κρηπῖδα κατέχουσι.

7. Πρὸς γὰρ αὐτοὺς εἶπεν ὁ Κύριος· μὴ μεριμνήσητε περὶ τὴν αὔριον, καὶ ὅτι τὰ πετεινὰ τοῦ οὐρανοῦ οὐ σπείρει οὐδὲ θερίζει, καὶ ὁ Πατὴρ ὁ οὐράνιος τρέφει αὐτά. Καὶ ὁ ἐχθρὸς δὲ τούτους κατά τι βλάψαι οὐκ ἔχει, αἱ γὰρ πλεῖσται τῶν θλίψεων καὶ τῶν συμφορῶν ἐν ταῖς ἀφαιρέσεσι τῶν χρημάτων προσγίνονται. Ὅπου δὲ ἀκτημοσύνη ἐστίν, ἐκεῖ τι ποιῆσαι ὁ ἐναντίος οὐκ ἔχει· χωρία ἐμπρήσει; ἀλλ' οὐκ εἰσιν· ὑποζύγια φθείρει; ἀλλ' οὐχ εὑρήσει· φιλτάτων ἅψηται; ἀλλὰ καὶ ταῦτα ἠρνήσατο. Οὐκοῦν μεγίστη κατὰ τοῦ ἐχθροῦ νίκη, καὶ πολύτιμος τῇ ψυχῇ θησαυρὸς ἡ ἀκτημοσύνη.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγε πρὸς τὰς συγκεντρωθείσας Μοναχὰς τὰς ἑξῆς πολυτίμους συμβουλὰς περὶ τῆς ἀκτημοσύνης· «Ἡ ἀκτημοσύνη, δι' ἐκείνας ποὺ ἠμποροῦν νὰ ὑποφέρουν τὴν στέρησιν, εἶναι τὸ μεγαλύτερον καλόν. Ἐκεῖναι, ποὺ τὴν ὑπομένουν, θλίβονται μὲν εἰς τὸ σῶμα, χαρίζουν ὅμως ἄνεσιν καὶ εὐχαρίστησιν εἰς τὴν ψυχήν των. Ὅπως ἀκριβῶς τὰ στερεὰ ἐνδύματα πλένονται καὶ καθαρίζονται, ὅσον κανεὶς περισσότερον τὰ πατᾶ καὶ τὰ στίβει, τοιουτοτρόπως καὶ ἡ δυνατὴ ψυχὴ μὲ τὴν θεληματικὴν πτωχείαν περισσότερον ἐνισχύεται.

2. Ἀντιθέτως, ὑποφέρουν αἱ ψυχαὶ ἐκεῖναι, ποὺ εἶναι ἀσθενεῖς κατὰ τὸν λογισμὸν καὶ ἐπιδεικνύουν ἀγάπην πρὸς τὰ φθειρόμενα ὑλικὰ ἀγαθά. Αἱ ψυχαὶ αὐταὶ μόλις ὀλίγον στενοχωρηθοῦν ἀπὸ τὰς ὑλικὰς στερήσεις χάνονται, ὅπως ἀκριβῶς τὰ κατεστραμμένα καὶ ξεσχισμένα ἐνδύματα, τὰ ὁποῖα δὲν ἀντέχουν εἰς τὸ πλύσιμον, κατὰ τὸν ὅμοιον τρόπον χάνονται καὶ αὐταί, διότι δὲν ἀντέχουν εἰς τὸ σκληρὸν πλύσιμον τῆς ἀρετῆς.

Ἂς προσέξωμεν τὸ παράδειγμα τῆς πλύσεως τῶν ἐνδυμάτων· μία εἶναι ἡ τέχνη τοῦ πλυσίματος καὶ ἴδιος ὁ τεχνίτης· ἐν τούτοις προέρχεται διαφορετικὸν ἀποτέλεσμα, διότι τὰ μὲν παλαιὰ καὶ κατεστραμμένα ξεσχίζονται, ἐνῷ τὰ γερὰ καθαρίζονται καὶ ξαναγίνονται καινούργια. Πραγματικῶς λοιπὸν ἡ ἀκτημοσύνη εἶναι ὁ πλέον πολύτιμος θησαυρὸς διὰ τὴν ἰσχυρὰν καὶ ἀνωτέραν διάνοιαν, διότι συγκρατεῖ, ὡσὰν τὸ χαλινάρι, ἀπὸ τὰς πράξεις τῆς ἁμαρτίας.

3. Διὰ νὰ ἀποκτήσῃ ὅμως ὁ Μοναχὸς αὐτὴν τὴν ἀρετήν, πρέπει πρῶτον νὰ γυμνασθῇ μὲ τὰς πρακτικὰς ἀρετάς, ὅπως εἶναι ἡ νηστεία καὶ ἡ χαμαικοιτία, δηλαδὴ τὸ νὰ κοιμᾶται κατ' εὐθεῖαν, χωρὶς στρώματα, εἰς τὴν γῆν, ἐν συνδυασμῷ μὲ τὰς ἄλλας σκληραγωγίας τοῦ σώματος καὶ ἀφοῦ ἀσκηθῇ εἰς αὐτὰς καὶ τὰς κάμῃ πλέον κτῆμα του, τότε νὰ προχωρήσῃ εἰς τὴν ἀκτημοσύνην. Ὅσοι δὲν ἠκολούθησαν αὐτὴν τὴν σειράν, ἀλλ' ἐπεχείρησαν ἀποτόμως νὰ σκορπίσουν τὰ χρήματά των, διὰ νὰ φθάσουν εἰς τὴν ἀκτημοσύνην, πολλάκις ἐνικήθησαν ἀπὸ φιλοχρήματον μεταμέλειαν, διότι τὰ χρήματα εἶναι τὸ μέσον διὰ νὰ κερδίσῃ κανεὶς τὰς ἀπολαύσεις τοῦ παρόντος βίου.

4. Θέλεις λοιπὸν νὰ ἐπιτύχῃς τὴν ἀκτημοσύνην; προσπάθησε πρῶτον νὰ ἀποκόψῃς τὴν κακήν σου συνήθειαν, δηλαδὴ τὴν γαστριμαργίαν καὶ τὴν καλοπέρασιν, καὶ τότε εὐκόλως θὰ ἠμπορέσῃς νὰ ἀποκόψῃς ἀπὸ ἐπάνω σου τὴν ὕλην τῶν χρημάτων. Νομίζω, ὅτι εἶναι πολὺ δύσκολον, ἐφόσον κανεὶς ἐργάζεται μίαν τέχνην, νὰ μὴ χρησιμοποιῇ τὰ ἀναγκαῖα δι' αὐτὴν ὄργανα.

Αὐτὸς λοιπόν, ποὺ δὲν κατώρθωσε νὰ ἀπομακρύνῃ ἀπὸ τὴν ζωήν του τὸ πρῶτον, δηλαδὴ τὸν πόθον τῆς καλοζωΐας, πῶς θὰ καταστῇ δυνατὸν νὰ ἀποδιώξῃ ἀπὸ τὴν ψυχήν του τὸ δεύτερον, δηλαδὴ τὴν ἀγάπην πρὸς τὰ χρήματα;

5. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ Σωτήρ, ὅταν συνομιλῇ μὲ τὸν πλούσιον νεανίαν, δὲν τὸν διατάσσει ἀμέσως καὶ ἀποτόμως νὰ ἀποβάλῃ τὰ χρήματα, ἀλλὰ ὡς καλὸς διδάσκαλος καὶ παιδαγωγὸς τὸν ἐρωτᾷ μὲ μεθοδικότητα, ἐὰν ἔχῃ ἐφαρμόσει ὅλας τὰς διατάξεις τοῦ Νόμου (1). Εἶναι τὸ ἴδιον, ὡς νὰ ἐξήταζεν ἕνα μαθητὴν καὶ νὰ τοῦ ἔλεγεν: ἔχεις μάθει τὰ γράμματα τοῦ ἀλφαβήτου; ἔμαθες νὰ συλλαβίζῃς; γνωρίζεις νὰ διακρίνῃς τὰ ὀνόματα; Ἐμπρὸς λοιπὸν τώρα, εἶναι και-

1) Βλέπε Ματθαίου ιθ' 16—22.

ρὸς νὰ ἀσκηθῇς καὶ εἰς τὴν ἐλευθέραν καὶ ἀπρόσκοπτον ἀνάγνωσιν δυσκόλων κειμένων!

Τὸ αὐτὸ νόημα ἔχει καὶ ἡ σύστασίς του πρὸς τὸν πλούσιον νεανίσκον: Ἐφ' ὅσον ἐξεπλήρωσες τὰ παραγγέλματα τοῦ Νόμου, πήγαινε νὰ πωλήσῃς τὰ ὑπάρχοντά σου, νὰ τὰ μοιράσῃς εἰς τοὺς πτωχοὺς καὶ ἔλα νὰ μὲ ἀκολουθήσῃς, ἀπηλλαγμένος ἀπὸ τὸ βάρος τῆς ὕλης[1]. Διότι ἀσφαλῶς, ἐὰν ὁ νεανίσκος δὲν ἐβεβαίωνε τὸν Κύριον, ὅτι ἐξετέλεσε τὰ καθήκοντα, ποὺ ἐπέβαλλεν ὁ Νόμος, δὲν θὰ τὸν προέτρεπε διὰ τὴν ἀκτημοσύνην.

6. Εἶναι λοιπὸν καλὴ ἡ ἀκτημοσύνη εἰς αὐτούς, ποὺ ἔχουν συνηθίσει εἰς τὰς ἀρετάς· οἱ ἄνθρωποι αὐτοί, ἀπορρίψαντες ὅλα τὰ περιττὰ βάρη τῆς ὕλης, στηρίζουν τὰς ἐλπίδας των διαρκῶς πρὸς τὸν Κύριον, ἐπαναλαμβάνοντες μετὰ πεποιθήσεως τὸ τοῦ ψαλμῳδοῦ· «Οἱ ὀφθαλμοὶ πάντων εἰς Σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ» (Ψαλμ. ρμδ', 15). Αὐτοὶ οἱ εὐλογημένοι ἄνθρωποι ἔχουν θεμελιώσει εἰς τὴν ψυχήν των τὴν πίστιν.

7. Πρὸς αὐτοὺς ἀπευθυνόμενος ὁ Κύριος εἶπε· «Μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον» (Ματθ. ϛ', 34). «Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά» (Ματθ. ϛ', 26). Τοὺς ἀκτήμονας αὐτούς, τοὺς μηδὲν ἔχοντας, καὶ ὁ διάβολος ἀκόμη δὲν ἔχει πολλοὺς τρόπους διὰ νὰ τοὺς βλάψῃ, ἐπειδὴ αἱ περισσότεραι θλίψεις καὶ συμφοραὶ ἀκολουθοῦν κατὰ τὰς ἐπιδρομὰς πρὸς διαρπαγὴν χρημάτων.

Ὅπου λοιπὸν ὑπάρχει ἀκτημοσύνη, ἐκεῖ δὲν ἠμπορεῖ νὰ κάνῃ κακὸν ὁ ἀντίπαλος τῆς ψυχῆς των. Ὑποστατικὰ νὰ καύσῃ; ἀλλὰ δὲν ὑπάρχουν· ὑποζύγια νὰ θανατώσῃ; ποῦ νὰ τὰ εὕρῃ; Νὰ βλάψῃ τὰ πλέον ἀγαπημένα συγγενικά των πρόσωπα; ἀλλὰ καὶ ταῦτα ἠρνήθησαν. Ἀπὸ ὅλα αὐτὰ συμπεραίνομεν, ὅτι ἡ ἀκτημοσύνη ἀποτελεῖ τὴν μεγαλυτέραν κατὰ τοῦ ἐχθροῦ νίκην καὶ συνιστᾷ τὸν πολυτιμότερον θησαυρὸν τῆς ψυχῆς.

Ζ'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Ἱλαρίωνος.

Ο ΜΕΓΑΣ Ἱλαρίων κανδιδᾶτον τινά, ᾧ καὶ ὁ βασιλεὺς Κωνστάντιος προσέχειτο μάλιστα, ὑπὸ δαίμονος ὀχλούμενον, τῆς χαλεπῆς ἐκείνης ἠλευθέρωσε μάστιγος.

2. Ὁ δὲ οἷα χάριτας ἀποδιδοὺς τῆς εὐεργεσίας, χρυσὸν εὐγνωμόνως τῷ Ἁγίῳ προσῆγεν. Ἀλλ' ἐκεῖνος ἄρτον τῇ χειρὶ ὑποδείξας, κρίθινος δὲ ὁ ἄρτος ἀκριβῶς ἦν, οἱ τοιαύτῃ τροφῇ χρώμενοι, ἔφη, τὸν τιμώμενον παρ' ὑμῶν χρυσὸν ἴσα καὶ τῷ πηλῷ λογίζονται· εἶπε καὶ αὐτίκα εὐλογίας αὐτῷ μεταδούς, οἴκαδε τὸν χρυσὸν ἐπαγόμενον ἐκέλευσεν ὑποστρέφειν, οὐ δαίμονος ἀπαλλάξας μόνον, ἀλλὰ

1) «Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι» (Ματθ. ιθ', 21).

καὶ χρυσὸν ἀτιμάζειν διδάξας, πρᾶγμα οὐδὲν ἔλαττον δαίμονος ἐνοχλοῦντος τοῖς φιλοχρημάτοις.

3. Τῷ τε καθ' ἑαυτὸν ὑποδείγματι δείξας, ὅτι περ ὁ πλοῦτον ἑαυτοῦ τὸν Θεὸν θέμενος, οὔτε χρημάτων δεῖται, οὔτε μὴν ἄλλου οὐδενὸς τῶν ἐπὶ τῆς γῆς. Ἀλλὰ ταῦτα πάντα μικρῶν ἡγεῖται ψυχῶν ἔρωτας, καὶ μικρῶν ὄντως ἀξίων, καὶ ὡς εἴ γε δὴ καὶ αὐτὸς τοιούτων ἐραστὴς ἦν, οὐκ ἂν δὴ καὶ σημείων ἐδείκνυτο ποιητής.

4. Ἄλλως τε καὶ τὸν ἀξιοῦντα τὰ χρήματα δέξασθαι ἐλέγξας ὅμοιόν τι ποιοῦντα, ὥσπερ εἴ τινι τῶν τρέχειν ὀξύτατα δυναμένων, δεσμοὺς παρεῖχε μισθόν τινα τῆς εὐκινησίας, ἢ τὸν γυμνὸν ἤδη παλαίειν πεπαιδευμένον, εἰ ἐπειρᾶτο ἐνδιδύσκειν, ὥστε λαβὰς ἔχειν ἐπ' αὐτῷ τὸν ἀντίπαλον.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Ἱλαρίων μίαν φορὰν ἐθεράπευσεν ἀπὸ τὴν μάστιγα τῆς δαιμονοπληξίας κάποιον κανδιδᾶτον (1), ποὺ ἦτο μάλιστα πολὺ φίλος μὲ τὸν βασιλέα Κωνστάντιον.

2. Ὁ θεραπευθείς, εὐγνώμων διὰ μίαν τοιαύτην εὐεργεσίαν, καὶ ἐπιθυμῶν νὰ ἀποδώσῃ χάριν εἰς τὸν εὐεργέτην του, προσέφερεν εἰς τὸν Ἅγιον Ἱλαρίωνα ποσότητα χρυσοῦ. Ὁ μέγας Ἀσκητὴς ἐπῆρε τότε εἰς τὴν χεῖρα του ἕνα κομμάτι κρίθινο ψωμί, τοῦ τὸ ἔδειξε καὶ συγχρόνως τοῦ εἶπε:


—Αὐτοί, ποὺ χρησιμοποιοῦν, διὰ τὴν συντήρησίν των, τοιαύτην τροφήν, τὸ χρυσάφι, ποὺ τόσον τὸ τιμᾶτε σεῖς, τὸ θεωροῦν ἴσον πρὸς τὸν πηλὸν (τὴν λάσπην). Πάρε λοιπόν, τέκνον μου, πίσω τὸ χρυσάφι σου.

Ἀφοῦ δὲ τὸν ηὐλόγησε, ἔφυγεν ὁ κανδιδᾶτος καὶ ἀπὸ τὸν δαίμονα ἀπαλλαγείς, ἀλλὰ καὶ διδαχθεὶς νὰ περιφρονῇ τὸν χρυσόν· ἡ δευτέρα δὲ ὠφέλεια δὲν εἶναι μικροτέρα τῆς πρώτης, διότι δι' αὐτούς, ποὺ ἀγαποῦν τὰ χρήματα, ἡ φιλαργυρία τοὺς ἐνοχλεῖ, ὅπως καὶ ὁ δαίμων.

3. Ἐν τῷ μεταξὺ ὁ Μέγας Ἱλαρίων ἔδειξεν εἰς τὸν κανδιδᾶτον μὲ τὸ παράδειγμα του, ὅτι αὐτός, ποὺ ἔχει ὡς πλοῦτον του τὸν Θεόν, δὲν ἔχει ἀνάγκην οὔτε ἀπὸ χρήματα, οὔτε ἀπὸ ἄλλο ἐπίγειον ἀγαθόν. Ἀπὸ τὸ περιστατικὸν αὐτὸ ὅλοι παραδειγματιζόμεθα, ὅτι τὰ χρήματα καὶ τὰ ὑλικὰ ἀγαθὰ τὰ ἐθεώρει ὁ Μέγας Ἱλαρίων, καὶ πολὺ δικαίως, ὡς ἀντικείμενα ποθούμενα ἀπὸ ἀνθρώπους μικρὰν ἔχοντας ψυχὴν καὶ διὰ μικρὰ μόνον πράγματα ἀξίους. Ἐὰν δὲ καὶ ὁ ἴδιος θὰ ἦτο ἐραστὴς τῶν φθειρομένων αὐτῶν ἀγαθῶν τοῦ κόσμου, ἀσφαλῶς δὲν θὰ ἦτο δυνατὸν νὰ κάμῃ τοιαῦτα θαύματα.

4. Παραλλήλως δὲ ὁ Μέγας Ἱλαρίων ἔδιδεν εἰς αὐτόν, ποὺ ἐπέμενε νὰ δεχθῇ τὰ χρήματα, νὰ καταλάβῃ, ὅτι ἡ ἀξίωσίς του αὐτὴ ὁμοιάζει μὲ τὴν πρόθεσιν τινὸς νὰ προσφέρῃ εἰς ἕνα ταχύτατον δρομέα, ὡς ἀνταμοιβὴν τῆς ταχύτητός του, τὸ δέσιμον τῶν ποδῶν του ἢ ὡς ἀπόπειρα νὰ ἐνδύσῃ κάποιον παλαιστήν, ποὺ ἔχει ἀσκηθῇ νὰ παλαίῃ

1) Κανδιδᾶτος εἶναι λέξις λατινικὴ καὶ σημαίνει γενικῶς τὸν ἀξιωματικόν.


Ὁ ΑΓΙΟΣ ἹΛΑΡΙΩΝ Ὁ ΜΕΓΑΣ ΘΕΡΑΠΕΥΩΝ ΒΥΖΑΝΤΙΝΟΝ
ΑΞΙΩΜΑΤΟΥΧΟΝ
Ράλλης Κοψίδης 65

γυμνός, διὰ νὰ ἠμπορῇ τοιουτοτρόπως ὁ ἀντίπαλος, κατὰ τὴν πάλην, νὰ τὸν πιάνῃ εὐκολώτερα.

Η'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Μελάνης.

Η ΑΓΙΑ Μελάνη, σὺν ἅμα τῷ ἀνδρὶ αὐτῆς Ἀπελλιανῷ, ἤδη πρὸ πολλοῦ τῷ βίῳ ἀποταξάμενοι, καὶ τὸν πλοῦτον αὐτῶν, ἄπειρον ὄντα, εἰς πᾶσαν σχεδὸν τὴν οἰκουμένην σκορπίσαντες, ἀφικνοῦνται καὶ εἰς Αἴγυπτον, ὁμοῦ μὲν ἱστορῆσαι καὶ τοὺς ἐν ταύτῃ ἁγίους ἄνδρας βουλόμενοι, ὁμοῦ δὲ καὶ τοῖς ἐκεῖσε πένησι τῆς ἑαυτῶν χρηστότητος μεταδοῦναι.

2. Ὡς οὖν τοὺς Ἀσκητὰς περιήρχοντο, μιᾷ τινι τῶν σκηνῶν ἐπιστάντες, ἥτις ἄνδρα μέγιστον εἰς φιλοσοφίαν παρ' ἑαυτῇ ἔφερεν, Ἡφαιστίων αὐτῷ ὄνομα· ἐδέοντο οὖν καὶ αὐτοῦ ὧν ἐδίδουν τοῖς ἄλλοις μεταλαβεῖν· τοῦ δὲ παραιτουμένου, ἡ Μελάνη τί μὴ ἐποίει πεῖσαι τὸν ἄνδρα βουλομένη λαβεῖν.

3. Ἐπεὶ δὲ μὴ ἔπειθε, μηχανᾶταί τι εὐθὺς ἡ Μακαρία, ὅπερ ἀμφοτέροις ἐπίσης εἶναι τὴν ἔνστασιν, αὐτῆς τε περὶ τὸ εὐεργετεῖν, κἀκείνου περὶ τὸ μηδὲν πεισθῆναι λαβεῖν τῶν ἀνθρωπίνων, ἀκριβέστατα διεσάφησε· περιήρχετο γὰρ τὸν οἰκίσκον ἅπαντα δῆθεν ἀνερευνῶσα τὰ ἐν αὐτῷ σκεύη, καὶ μηδὲν ἕτερον ἰδοῦσα, εἰ μὴ ψιάθιον καὶ σπυρίδα βραχὺ ἅλας φέρουσαν, ὑπὸ τούτῳ τῷ ἅλατι χρυσίου τι μέρος καταθεῖσα καὶ περιχώσασα, ὡς δὴ λαθοῦσα, σπουδῇ τὴν εὐχὴν ἀπῄτει, καὶ τυχοῦσα ἐξῄει, ἀλλ' οὐδὲν ἀπώνατο τοῦ σοφίσματος.

4. Ὁ γὰρ ἱερὸς ἀνὴρ ἐκεῖνος γνούς, δρόμῳ τε ὡς εἶχεν ἐχρῆτο· καὶ τῇ φωνῇ πόῤῥωθεν αὐτοὺς ἀπεῖχεν· εἶτα καὶ ταῖς χερσὶν ἐπισείων τὸν χρυσὸν ἐδείκνυ, καὶ ὡς οὐκ ἔχει αὐτῷ κατὰ τὶ χρήσασθαι ἔλεγε· τῶν δὲ εἰπόντων ὡς μὴ σοί γε πάντως, ἀλλ' ἑτέροις χρήσιμος ἔσται· καὶ μήν, ἔφη, οὐδὲ ἔσται τις ὁ αἰτήσων ἐνταῦθα, ἄπορος γὰρ ὡς ὁρᾶτε ὁ τόπος, καὶ δεινῶς ἔρημος· ὡς δὲ μηδὲ οὕτως ἐδέχοντο ῥίψαντα κατὰ τοῦ ποταμοῦ τόν χρυσὸν ἀναχωρῆσαι τὸν Γέροντα.

5. Καὶ ἄλλοις δέ φασι τοιούτοις οὐκ ὀλίγοις περιτυχεῖν, οἷς καὶ τὸν χρυσὸν ὅλως τῇ χειρὶ παρὰ τοῦ λαβεῖν ἐπίσης πεφύλακτο, τῷ καὶ ἰὸν ὄφεως ἑκοντὶ ἢ ἄλλο τῶν θανασίμων καὶ φθαρτικῶν ἐκπιεῖν.

Ἑρμηνεία

Η ΑΓΙΑ Μελάνη μαζὶ μὲ τὸν σύζυγόν της, τὸν Ἀπελλιανόν, ἀπὸ πολλοῦ χρόνου εἶχον ἀπομακρυνθῆ ἀπὸ τὴν ματαιότητα τοῦ κοσμικοῦ βίου. Πρὸς τοῦτο ἐσκόρπισαν εἰς ὅλους σχεδὸν τοὺς πτωχοὺς τοῦ κόσμου τὴν μεγάλην των περιουσίαν καὶ ἐταξίδευσαν εἰς τὴν Αἴγυπτον, ἀφ' ἑνὸς μὲν διὰ νὰ γνωρίσουν τοὺς Ἁγίους Ἀσκητάς, ποὺ διέμενον ἐκεῖ, καὶ ἀφ' ἑτέρου διὰ νὰ σκορπίσουν καὶ εἰς τοὺς πτωχοὺς τῆς περιοχῆς τὰ δῶρα τῆς καλωσύνης των.

2. Καθὼς λοιπὸν ἐπεσκέπτοντο τοὺς διαφόρους Ἀσκητάς, ἔφθασαν καὶ εἰς μίαν πτωχικὴν σκηνήν, ἡ ὁποία ἐστέγαζε τὸν Ἡφαιστίωνα, ἄνδρα σπουδαῖον καὶ κατὰ τὴν ἀρετήν, ἀλλὰ καὶ κατὰ τὸ βάθος τῆς ἀληθοῦς φιλοσοφίας.

Ἀφοῦ λοιπὸν εἰσῆλθον εἰς τὴν σκηνήν του καὶ τὸν ἐχαιρέτησαν, τὸν παρεκάλεσαν νὰ δεχθῇ κάτι, ἀπὸ αὐτά, ποὺ προσέφεραν καὶ εἰς τοὺς ἄλλους. Ἐκεῖνος τοὺς ἀπαντοῦσε:

—Δὲν μοῦ χρειάζονται, εὐλογημένοι μου, τί νὰ τὰ κάμω τὰ χρήματα ἐδῶ εἰς τὴν ἐρημίαν ;

Μὲ κανένα τρόπον δὲν ἠδυνήθη ἡ Μελάνη νὰ πείσῃ τὸν Ὅσιον νὰ δεχθῇ κάτι.

3. Ἀφοῦ λοιπὸν δὲν τὸν ἔπειθεν, ἤρχισε νὰ σκέπτεται πῶς θὰ τοῦ ἄφηνε κάτι, χωρὶς νὰ γίνῃ ἀντιληπτή, διότι καὶ οἱ δύο ἐπέμεναν, ἐκείνη μὲν νὰ τοῦ προσφέρῃ κάτι, ἐκεῖνος δὲ νὰ ἀρνῆται νὰ τὸ δεχθῇ.

Ἐπὶ τέλους συνέλαβε τὸ σχέδιον της! Προσεποιήθη, ὅτι ἤθελε νὰ γνωρίσῃ τὸ πτωχικὸν σπιτάκι τοῦ Ἀσκητοῦ καὶ δι' αὐτὸ ἤρχισε νὰ τριγυρνᾷ καὶ νὰ τὸ ἐξετάζῃ μετὰ προσοχῆς. Τίποτε ὅμως δὲν ὑπῆρχε στὸ σπιτάκι μέσα, παρὰ ψαθιὰ γιὰ τὸ πλέξιμο τῶν ζεμπιλιῶν καὶ ἕνα μικρὸ σακκουλάκι, ποὺ εἶχε λίγο ἁλάτι.

Ἀμέσως λοιπὸν γρήγορα-γρήγορα διέφυγε τῆς προσοχῆς τοῦ Ἀσκητοῦ, ποὺ συνωμίλει μὲ τὸν σύζυγόν της, καὶ ἔχωσε κάτω ἀπὸ τὸ ἁλάτι μίαν ποσότητα χρυσοῦ. Φοβουμένη δὲ μήπως γίνῃ ἀντιληπτή, ζητεῖ τὴν εὐχὴν τοῦ Ἀσκητοῦ καὶ ἀφοῦ τὴν ἔλαβεν, ἀνεχώρησεν ἐσπευσμένως. Εἰς τίποτε ὅμως δὲν τὴν ὠφέλησε τὸ τέχνασμά της.

4. Ὁ Ἅγιος ἐκεῖνος Ἀσκητής, μόλις ἀντελήφθη τὸ τέχνασμα, ἔτρεξεν ὅσον ἠμποροῦσε, διὰ νὰ τοὺς προλάβῃ. Ἀπὸ μακρυὰ δὲ τοὺς ἐφώναζε καὶ ἐδείκνυε μὲ τὰς χεῖρας του τὸ χρυσάφι.

—Πάρετε τὸ χρυσάφι σας· δὲν μοῦ χρειάζεται. Τί νὰ τὸ κάνω ἐδῶ εἰς τὴν ἐρημιά;

—Κράτησέ το, Γέροντα —εἶπον ἐκεῖνοι —καὶ ἐὰν δὲν σοῦ χρησιμεύσῃ, δῶσέ το εἰς ἄλλον ἔχοντα ἀνάγκην.

—Κανεὶς δὲν πρόκειται νὰ τὸ ζητήσῃ —λέγει πάλιν ὁ Γέρων — διότι ἀπὸ ἐδῶ, ποὺ εἶναι φοβερὴ ἐρημιά, κανεὶς δὲν περνᾷ.

Ἐπειδὴ ὅμως δὲν ἐδέχοντο νὰ παραλάβουν πάλιν τὸ χρυσάφι, τότε ὁ Ἀσκητὴς τὸ ἔρριξεν εἰς τὸν ποταμὸν καὶ ἀνεχώρησε.

5. Καθὼς δὲ διηγοῦνται καὶ ἄλλους, οὐκ ὀλίγους, τοιούτους Ἀσκητὰς συνήντησαν, ποὺ ἀπέφευγαν τὸ χρυσάφι, ὡς τὸ νὰ πίουν θεληματικῶς δηλητήριον ὄφεως ἢ ἄλλο τι θανατηφόρον ποτόν.

Θ'. Ἐν τῷ Γεροντικῷ.

ΗΡΩΤΗΣΕΝ Ἡγούμενος Κοινοβίου τὸν Ἀββᾶν Ποιμένα λέγων· πῶς δύναμαι κτήσασθαι τὸν φόβον τοῦ Θεοῦ; ἀπεκρίθη αὐτῷ ὁ Γέρων· πῶς δυνάμεθα κτήσασθαι τὸν φόβον τοῦ Θεοῦ, ἔσωθεν ἔχοντες γαστρία τυρίων καὶ κεράμια ταρίχων;

2. Γέρων τις σκητιώτης ἔμενεν εἰς τὸ ὄρος τὸ Παΐσιον, καὶ ἠνέχθη αὐτῷ τις δαιμονιζόμενος, καὶ ἰάσατο αὐτόν· ὁ δὲ προσήνεγκεν αὐτῷ θαλλὶν μεστὸν χρυσοῦ· ὁ δὲ Γέρων οὐκ ἤθελε δέξασθαι. Ἰδὼν δὲ αὐτὸν λυπούμενον, ἐκράτησε τὸ θαλλὶν κοῦφον, καὶ λέγει αὐτῷ· τὸ χρυσίον δὸς τοῖς πτωχοῖς ἀγάπην.

3. Καὶ ἐποίησεν ὁ Γέρων τὸ θαλλὶν κολόβιν, ἦν γὰρ τρίχινον καὶ σκληρόν, καὶ ἐπὶ χρόνον πολὺν ἐφόρεσεν αὐτό, ἵνα κατατρίψῃ τὰς σάρκας αὐτοῦ.

Ἑρμηνεία

+ ἝΝΑΣ Ἡγούμενος Κοινοβίου ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:
—Πῶς ἠμπορῶ, Γέροντα, νὰ ἀποκτήσω τὸν φόβον τοῦ Θεοῦ;
Καὶ ὁ Ἀββᾶς Ποιμὴν ἀπήντησε:
—Πῶς ἠμπορεῖ ὁ Μοναχὸς νὰ ἀποκτήσῃ τὸν φόβον τοῦ Θεοῦ, ὅταν τὸ κελλί του εἶναι γεμᾶτο ἀπὸ πιθάρια μὲ τυρὶ καὶ διάφορα ἄλλα πήλινα δοχεῖα μὲ παστά;

2. Ἕνας Γέρων, ποὺ ἐμόναζεν εἰς Σκήτην, παρέμενεν εἰς τὸ Παΐσιον ὄρος. Μίαν ἡμέραν τοῦ ἔφεραν ἕνα δαιμονιζόμενον καὶ τὸν ἐθεράπευσε. Μετ' ὀλίγον ὁ θεραπευθεὶς προσέφερεν εἰς τὸν Γέροντα ἕνα σάκκον γεμᾶτον χρυσάφι. Ὁ Γέρων κατ' οὐδένα τρόπον ἤθελε νὰ τὸ δεχθῇ. Ἐπειδὴ ὅμως παρετήρησεν, ὅτι ὁ θεραπευθεὶς ἐλυπήθη ἀπὸ τὴν ἄρνησίν του αὐτήν, δι' αὐτὸ ἄδειασε τὸν σάκκον ἀπὸ τὸ χρυσάφι καὶ ἐκράτησε τὸν σάκκον κενόν. Εἰς τὸν ἄνθρωπον δὲ εἶπε:
—Πάρε τὸ χρυσάφι καὶ δῶσε το ἐλεημοσύνην εἰς τοὺς πτωχούς.
3. Ὁ Γέρων ἀπὸ τὸν σάκκον ἔκαμεν ἕνα κολόβιον (χιτώνιον χωρὶς μανίκια), διότι ἦτο πλεγμένος ἀπὸ τρίχα καί, ὡς ἐκ τούτου σκληρός, καὶ τὸ ἐφοροῦσε πολὺν καιρόν, ἐσωτερικῶς, διὰ νὰ ταλαιπωρῇ τὸ σῶμα του.

Γ'. Ἀντιόχου τοῦ Πανδέκτου.

Η ΑΚΤΗΜΟΣΥΝΗ εἰλικρινῆ τὴν πολιτείαν τοῦ Μοναχοῦ ἀποδείκνυσιν· ἀκτήμων Μοναχός, ἀετός ἐστιν ὑψιπέτης· ἀκτήμων Μοναχὸς ἐπιδείκνυσιν ὅτι πάροικός ἐστιν ἐπὶ τῆς γῆς· μηδὲν γὰρ ἐπιφερόμενος τῶν προσκαίρων, δῆλός ἐστιν ὅτι τῶν ἀϊδίων ὀρέγεται.
2. Ὁ ἀκτήμων μιμητὴς Ἠλιοῦ καὶ Ἰωάννου ὑπάρχει, καὶ τῶν μαθητῶν τοῦ Κυρίου, λέγων καὶ αὐτὸς σὺν ἐκείνοις· ἰδοὺ ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν; διὸ καὶ ἀκούει μετ' αὐτῶν παρὰ τοῦ Σωτῆρος, ὅτι ὑμεῖς οἱ ἀφήσαντες πάντα καὶ ἀκολουθήσαντές μοι ἑκατονταπλασίονα λήψεσθε, καὶ ζωὴν αἰώνιον.
3. Ὁ ἀκτήμων ἐπὶ γῆς δοκεῖ μὲν πολιτεύεσθαι, τὴν δὲ διατριβὴν ἐν οὐρανοῖς κέκτηται· διὰ γὰρ τῆς ἀκτημοσύνης τοῖς Ἀγγέλοις συναμιλλᾶται καὶ τοῖς δικαίοις συγχορεύει· καὶ ὁ τοιοῦτος κληρονόμος μὲν Θεοῦ, συγκληρονόμος δὲ Χριστοῦ γίνεται· πάντα γὰρ ἀποκτησάμενος μετὰ χαρᾶς, ἐκτήσατο ἀγρόν, ἐν ᾧ εὗρε τὸν θησαυρὸν τῆς ζωῆς κεκρυμμένον, καὶ τὸν Πολύτιμον Μαργαρίτην ἠγόρασεν.

Ἑρμηνεία

+ Η ΑΚΤΗΜΟΣΥΝΗ ἀποδεικνύει, ὅτι ἡ ζωὴ τοῦ Μοναχοῦ, ποὺ τὴν ἐφαρμόζει, εἶναι εἰλικρινής. Ὁ Μοναχός, ποὺ δὲν ἔχει τίποτε ὡς περιουσίαν, ὁμοιάζει μὲ τὸν ἀετόν, ποὺ πετᾷ ὑψηλά. Ὁ Μοναχός, ποὺ δὲν ἔχει οὐδεμίαν περιουσίαν, δείχνει, ὅτι εἶναι πρόσκαιρος ἐπάνω εἰς τὴν γῆν· ἀφοῦ δὲν ἀποκτᾷ τίποτε ἀπὸ τὰ πρόσκαιρα ἀγαθὰ τοῦ κόσμου αὐτοῦ, μὲ τὴν ἀδιαφορίαν του αὐτὴν φανερώνει, ὅτι ἐπιθυμεῖ τὰ αἰώνια.

2. Ὁ ἀκτήμων μιμεῖται, μὲ τὴν ἀκτημοσύνην του, τὸν Ἠλίαν, τὸν Ἰωάννην (τὸν Βαπτιστὴν) καὶ τοὺς Μαθητὰς τοῦ Κυρίου. Δύναται νὰ λέγῃ καὶ αὐτός, ὅπως ἐκεῖνοι: «Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν»; (Ματθ. ιθ΄, 27). Δι' αὐτὸ καὶ θὰ ἀκούῃ,μαζὶ μὲ ἐκείνους, αὐτὸ ποὺ εἶπεν ὁ Σωτήρ· Σεῖς οἱ ἀφήσαντες πάντα καὶ ἀκολουθήσαντές με, θέλετε λάβει ἑκατονταπλάσια καὶ θέλετε κληρονομήσει ζωὴν αἰώνιον(1).

3. Ὁ ἀκτήμων φαίνεται μέν, ὅτι ζῇ εἰς τὴν γῆν, πραγματικῶς ὅμως διαμένει εἰς τοὺς οὐρανούς· διότι μὲ τὴν ἀκτημοσύνην συναγωνίζεται μὲ τοὺς Ἀγγέλους καὶ εὐφραίνεται μαζὶ μὲ τοὺς Δικαίους. Ὁ εὐλογημένος αὐτὸς ἄνθρωπος, ποὺ πραγματοποιεῖ αὐτὸ τὸ κατόρθωμα, κληρονομεῖ τὴν Βασιλείαν τῶν οὐρανῶν καὶ ἀναδεικνύεται συγκληρονόμος τοῦ Χριστοῦ (2). Διότι, ἀφοῦ ἔχασεν εὐχαρίστως καὶ ἑκουσίως ὅλα τὰ ὑλικὰ πράγματα, ἀπέκτησε, διὰ τῆς ἑκουσίου αὐτῆς ἀπωλείας, ἕνα χωράφι, μέσα εἰς τὸ ὁποῖον ἀνεκάλυψε τὸν θησαυρὸν τῆς ζωῆς, ποὺ εἶχε κρυβῆ, καὶ ἠγόρασε τὸν Πολύτιμον Μαργαρίτην.

ΙΑ΄. Τοῦ Ἀββᾶ Ἡσαΐου.

ΕΑΝ ᾖς ἐν Μοναστηρίῳ καὶ ἔχῃς δοῦλον, καὶ κρατήσῃς αὐτόν, ὑβρίζεις τὸ σχῆμα· ἐὰν δὲ χαρίσῃς αὐτὸν ἀδελφῷ, ἥμαρτες εἰς Θεόν· ἀλλ' ἢ ἀπόλυσον αὐτόν, καὶ ἀπέλθῃ, ἢ ποίησον ἐλεύθερον· ἐὰν δὲ θέλῃ Μοναχὸς γενέσθαι, αὐτὸς ὄψεται, σὺ δὲ μὴ ἐάσῃς αὐτὸν μετὰ σοῦ, οὐκ ὠφελεῖ γὰρ τὴν ψυχήν σου.

2. Σὺ δὲ ὅταν ἀποτάξῃ, μηδὲν ἐάσῃς σεαυτῷ ὅλως, ἐξ ὧν εἶχες, καὶ ἐὰν ὑποβάλλῃ σοι ὁ λογισμὸς περιελθεῖν, διὰ τὸ μηδὲν ἔχειν, μὴ πεισθῇς αὐτῷ, ἀλλὰ μᾶλλον κοπίασον ἐν τῷ ἐργοχείρῳ σου, ἵνα ἡσυχάσῃς ἐν τῷ κελλίῳ σου, μετ' ἐπιεικείας ἐσθίων τὸν ἄρτον σου.

Ἑρμηνεία

ΕΑΝ πρόκειται νὰ ἀναχωρήσῃς ἐκ τοῦ κόσμου διὰ νὰ γίνῃς Μοναχὸς εἰς Μοναστήριον καὶ ἔχῃς δοῦλον, ἐφ' ὅσον ἐξακολουθεῖς νὰ τὸν κρατῇς, ὑβρίζεις τὸ μοναχικὸν σχῆμα· ἐὰν πάλιν τὸν χαρίσῃς εἰς ἄλλον ἀδελφόν, διέπραξες ἁμαρτίαν ἐνώπιον τοῦ Θεοῦ. Δι' αὐτὸ ἢ πρέπει νὰ τὸν ἀφήσῃς νὰ φύγῃ, ἢ νὰ τὸν ἐλευθερώσῃς ἐπι-

---

1) «Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει» (Ματθ. ιθ΄ 28—29).

2) «Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ· εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ» (Ρωμ. η΄, 16—17).

σήμως. Ἐὰν πάλιν ἐπιθυμῇ νὰ γίνῃ Μοναχός, σὺ μὴ τὸν ἐπηρεάσῃς· μόνος του ἂς ἀποφασίσῃ. Πάντως μὴ τὸν ἀφήσῃς νὰ μείνῃ μαζί σου, διότι αὐτὴ ἡ συμβίωσις δὲν ὠφελεῖ τὴν ψυχήν σου.

2. Σύ, ὅταν ἀπομακρυνθῇς ἀπὸ τὸν κόσμον, διὰ νὰ γίνῃς Μοναχός, πρόσεξε νὰ μὴ κρατήσῃς τίποτε ἀπὸ ὅσα εἶχες. Ἐὰν δὲ ὁ λογισμός σοῦ βάλῃ τὴν σκέψιν νὰ περιέλθῃς δι' ἐλεημοσύνην, διότι εἰς τὴν ἡσυχίαν δὲν ἔχεις τίποτα, σὺ νὰ μὴ τὸν ἀκούσῃς. Προσπάθησε νὰ κοπιάσῃς μὲ τὸ ἐργόχειρόν σου, διὰ νὰ ἡσυχάζῃς εἰς τὸ κελλίον σου καὶ νὰ τρώγῃς μὲ γαλήνην ψυχῆς τὸν ἄρτον σου.

ΙΒ'. Τοῦ Ἀββᾶ Μάρκου.

ΟΥΔΕΝ ὠφελήθης ἀποταξάμενος καὶ ἡδυπαθῶν· ὃ γὰρ ἐποίεις διὰ τῶν χρημάτων, τοῦτο καὶ μηδὲν ἔχων ἐργάζῃ. Πάλιν ὁ ἐγκρατής, ἐὰν κτήσηται χρήματα, ἀδελφός ἐστι τοῦ προτέρου κατὰ διάνοιαν, μητρὸς μὲν τῆς αὐτῆς κατὰ τὴν νοερὰν ἡδονήν, πατρὸς δὲ ἑτέρου διὰ τὴν τοῦ πάθους ἐναλλαγήν.

2. Ἔστιν ὁ περικόπτων πάθος διὰ μείζονα ἡδυπάθειαν ὡς καὶ οἱ νῦν ἐν τοῖς κοσμικοῖς Κοινοβίοις ἀποτασσόμενοι τῷ δοκεῖν καὶ ὑπὸ τῶν ἀγνοούντων αὐτοῦ τὸν σκοπὸν δοξάζεται· τάχα δὲ καὶ ἑαυτὸν ἀγνοεῖ κοπιῶν ἀνόνητα.

3. Αἰτία πάσης κακίας, κενοδοξία καὶ ἡδονή· ὁ δὲ μὴ μισήσας αὐτά, οὐ μὴ νικήσει πάθος· ῥίζα γὰρ πάντων τῶν κακῶν εἴρηται ἡ φιλαργυρία, ἀλλὰ καὶ αὐτὴ σαφῶς δι' ἐκείνων συνίσταται.

Ἑρμηνεία

ΤΙΠΟΤΕ δὲν θὰ σὲ ὠφελήσῃ, ἐὰν ἐξέλθῃς τοῦ κοσμικοῦ βίου καὶ διατηρήσῃς εἰς τὴν ψυχήν σου μίαν φιλήδονον σκέψιν πρὸς τὴν ὕλην. Διότι αὐτό, ποὺ ἔκανες μὲ τὰ χρήματα, ὅταν εὑρίσκεσο εἰς τὸν κόσμον, τώρα καὶ χωρὶς αὐτά, μὲ τὴν φιλήδονον αὐτὴν σκέψιν, τὸ ἐπιτυγχάνεις.

Ὁ ἐγκρατευόμενος πάλιν, λόγῳ ἀσκήσεως, ἐφ' ὅσον ἀποκτήσῃ χρήματα, εἶναι ἀδελφὸς τοῦ προηγουμένου κατὰ τὴν διάνοιαν. Ἔχει τὴν ἰδίαν μὲ ἐκεῖνον μητέρα, τὴν ἀνεκδήλωτον εἰς ἔργα, ἀλλὰ νοουμένην ἡδονήν, καὶ ἄλλον πατέρα, διότι ὑπὸ ἄλλου πάθους πολεμεῖται ὁ ἄνθρωπος οὗτος.

2. Ὑπάρχει ἀκόμη καὶ ἐκεῖνος, ποὺ περικόπτει ἕνα πάθος, διὰ μεγαλυτέραν τέρψιν, ὅπως καὶ αὐτοὶ ποὺ σήμερον ἔχουν καταφύγει εἰς κοσμικὰ Κοινόβια(1)· αὐτοὶ πετοῦν τὴν ὕλην καὶ τὰς ἡδονὰς αὐτῆς φαινομενικὰ καὶ ἐπαινοῦνται ἀπὸ αὐτούς, ποὺ ἀγνοοῦν τὸν σκοπόν τους. Ἴσως μάλιστα καὶ οἱ ἴδιοι νὰ μὴ ὑποπτεύωνται τὴν βαθυτέραν ῥοπὴν

---

1) Κοσμικὰ Κοινόβια ὀνομάζει ἐδῶ ὁ Ἅγιος Μάρκος τὰ πλησίον τῶν πόλεων κείμενα Μοναστήρια, εἰς τὰ ὁποῖα οἱ κατατασσόμενοι Μοναχοί, ἐν ἀντιθέσει πρὸς τοὺς Ἐρημίτας καὶ Ἀναχωρητάς, ζοῦν κοινοβιακῶς, χωρὶς μεγάλας στερήσεις περὶ τὴν τροφὴν καὶ τὰ ἐνδύματα.

καὶ κλίσιν τῆς ψυχῆς των καὶ τοιουτοτρόπως νὰ κοπιάζουν χωρὶς ὠφέλειαν καὶ γνῶσιν.

3. Αἰτία ὅλων τῶν κακιῶν εἶναι ἡ κενοδοξία καὶ ἡ ἡδονή. Αὐτὸς δὲ ποὺ δὲν κατορθώνει νὰ μισήσῃ αὐτὰς τὰς κλίσεις καὶ ροπὰς τῆς ψυχῆς, κανένα πάθος δὲν θὰ ἠμπορέσῃ νὰ νικήσῃ ποτέ. Διότι ἔχει λεχθῆ, ὅτι ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία· αὐτὴ δὲ πάλιν συντηρεῖται ἀπὸ τὴν κενοδοξίαν καὶ τὴν ἡδονήν.

ΙΓ'. Τοῦ Ἀββᾶ Ἰσαάκ.

Ο ΦΕΥΓΩΝ τοῦ παρόντος βίου τὴν ἀνάπαυσιν, τούτου ὁ νοῦς κατεσκόπευσε τὸν μέλλοντα αἰῶνα. Ὁ δὲ συνδεδεμένος τῇ φιλοκτημοσύνῃ, δοῦλος τῶν παθῶν πέφυκε. Μὴ νόμιζε φιλοκτημοσύνην μόνον εἶναι τὴν κτῆσιν τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου, ἀλλὰ πᾶν ὅ,τιοῦν ἐν ᾧ τὸ θέλημά σου κρέμαται.

2. Ἀγάπησον ἐν ὑπομονῇ τὴν πτωχείαν, ἵνα συναχθῇ ὁ νοῦς σου ἐκ τοῦ μετεωρισμοῦ.

3. Μίσησον τὸν πλατυσμόν, ἵνα φυλάττῃς τοὺς διαλογισμούς σου ἀταράχους. Σύστειλον σεαυτὸν ἀπὸ τῶν πολλῶν, καὶ φρόντισον τῆς ψυχῆς σου, ἵνα σώσῃς αὐτὴν ἐκ τοῦ διασκορπισμοῦ τῆς ἐνδοτάτης γαλήνης.

4. Ἐκτὸς ἀκτημοσύνης, οὐ δύναται ψυχὴ ἐλευθερωθῆναι ἐκ τῆς ταραχῆς τῶν λογισμῶν· καὶ ἐκτὸς ἡσυχίας τῶν αἰσθήσεων, τῆς εἰρήνης τῆς διανοίας οὐκ αἰσθηθήσεται· ἐκτὸς δὲ γαλήνης λογισμῶν, ὁ νοῦς ἐν ἀποκρύφοις μυστηρίοις οὐ κινηθήσεται.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ποὺ ἐγκαταλείπει τὴν ἀνάπαυσιν τῆς παρούσης ζωῆς, ἔχει διὰ τοῦ νοός του ἐρευνήσει μετὰ προσοχῆς τὸν μέλλοντα αἰῶνα, ὡς ὁ κατάσκοπος τὴν ξένην χώραν. Ἀντιθέτως· ἐκεῖνος, ποὺ ἔχει συνδεθῆ μὲ ἀγάπην καὶ φιλίαν πρὸς τὰ κτήματα καὶ τὰ ὑλικὰ ἀγαθά, αὐτὸς κατέστη πλέον δοῦλος τῶν παθῶν. Μὴ νομίζῃς, ὅτι ἡ φιλοκτημοσύνη (ἡ ἀγάπη πρὸς τὰ κτήματα) συνίσταται μόνον εἰς τὴν ἀπόκτησιν τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου· φιλοκτημοσύνη εἶναι ὅ,τι δήποτε αἰχμαλωτίζει τὸ θέλημά σου.

2. Νὰ ἀγαπήσῃς τὴν πτωχείαν καὶ ἀγογγύστως νὰ τὴν ὑπομένῃς, διὰ νὰ συγκεντρώνεται ὁ νοῦς σου ἀπὸ τὰς ἀσκόπους καὶ ἐπικινδύνους περιπλανήσεις.

3. Νὰ μισήσῃς τὴν καλοπέρασιν, ποὺ αὐξάνει τοὺς περισπασμούς, διὰ νὰ δυνηθῇς νὰ διαφυλάξῃς τὴν ἀταραξίαν καὶ τὴν γαλήνην τῶν ἐνδομύχων σκέψεών σου. Νὰ περιμαζεύσῃς τὸν ἑαυτόν σου ἀπὸ πολλὰς ἀσκόπους ἐνασχολήσεις καὶ νὰ φροντίσῃς μόνον διὰ τὴν ψυχήν σου, διὰ νὰ τὴν σώσῃς ἀπὸ τὴν καταστροφὴν καὶ τὸ σκόρπισμα τῆς ἐσωτερικῆς γαλήνης.

4. Ἐκτὸς ἀπὸ τὴν ἀκτημοσύνην, μὲ τίποτε ἄλλο δὲν ἠμπορεῖ ἡ ψυχὴ νὰ ἀπαλλαγῇ ἀπὸ τὴν ταραχὴν τῶν λογισμῶν. Ἐφ' ὅσον αἱ αἰ-

σθήσεις δὲν ἡσυχάζουν ἀπὸ τὰς ἐνοχλήσεις τῆς ὕλης καὶ τῆς ἡδονῆς καὶ δὲν εἰρηνεύει ἡ διάνοια ἀπὸ τὰ πάθη, ἡ ψυχὴ δὲν θὰ αἰσθανθῇ ποτὲ τὴν ἐσωτερικὴν γαλήνην καὶ τὴν συγκίνησιν· χωρὶς δὲ τὴν γαλήνην τῶν λογισμῶν, ἡ ψυχὴ ποτὲ δὲν θὰ κινηθῇ εἰς τὴν ἐσωτερικὴν γνῶσιν καὶ τὴν ὑψηλὴν θεωρίαν τῶν ἀποκρύφων μυστηρίων.

ΙΔ'. Τοῦ Ἁγίου Μαξίμου.

ΑΚΤΗΜΩΝ ἐστὶν ὁ ἀποταξάμενος πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, καὶ μηδὲν τὸ σύνολον ἐπὶ γῆς κτησάμενος, πλὴν τοῦ σώματος· καὶ τὴν πρὸς αὐτὸ δὲ σχέσιν διαῤῥήξας, τῷ Θεῷ καὶ τοῖς εὐσεβέσι τὴν ἑαυτοῦ κατεπίστευσεν οἰκονομίαν.

Ἑρμηνεία

ΑΚΤΗΜΩΝ εἶναι ἐκεῖνος, ποὺ ἐγκατέλειψεν ὅλα τὰ ὑπάρχοντά του καὶ δὲν ἀπέκτησε τίποτε ἀπὸ ὅσα ὑπάρχουν εἰς τὴν γῆν, ἐκτὸς ἀπὸ τὸ σῶμά του· κατώρθωσε δὲ νὰ διασπάσῃ καὶ αὐτὴν τὴν πρὸς τὸ σῶμά του σχέσιν, τὴν φυσικὴν δι' αὐτὸ φροντίδα, καὶ νὰ ἐμπιστευθῇ τὸν ἑαυτόν του εἰς τὸν Θεὸν καὶ τὴν φροντίδα τῶν εὐσεβῶν.

ΙΕ'. Ἐν τῷ Γεροντικῷ.

ΗΣΘΕΝΗΣΕ ποτε ὁ Ἀββᾶς Ἀρσένιος εἰς Σκῆτιν, καὶ ἔχρῃζε λύχνον, καὶ μὴ ἔχων ὅθεν ἀγοράσῃ, ἔλαβε παρά τινος ἀγάπην, καὶ εἶπεν· εὐχαριστῶ σοι, Κύριε, ὅτι ἠξίωσάς με λαβεῖν ἀγάπην διὰ τὸ ὄνομά σου.

2. Ἠρώτησε τὸν αὐτὸν ὁ Ἀββᾶς Μάρκος λέγων· καλὸν τὸ μὴ ἔχειν τινὰ ἐν τῷ ἰδίῳ κελλίῳ τὴν οἱανοῦν παράκλησιν· εἶδον γάρ τινα ἀδελφὸν ἔχοντα μικρὰ λάχανα καὶ ἐκριζοῦντα αὐτά. Καὶ ἀπεκρίθη ὁ Ἀββᾶς Ἀρσένιος· καλὸν μέν ἐστιν, ἀλλὰ πρὸς τὴν ἕξιν τοῦ ἀνθρώπου, ἤτοι τὴν τῆς ψυχῆς κατάστασιν καὶ τὴν τῆς ἀρετῆς προκοπήν· ἐὰν γὰρ μὴ ἔχῃ ἰσχὺν ἐν τῷ τοιούτῳ τρόπῳ ἤγουν τῇ τῆς τελειότητος ἕξει, πάλιν φυτεύει ἄλλα.

3. Διηγήσαντο περὶ τοῦ Ἀββᾶ Ἀγάθωνος, ὅτι ἔμεινε χρόνον ἱκανὸν οἰκοδομῶν κελλίον· ὡς ἦλθον λοιπὸν καθῆσαι, εἶδεν ὁ γέρων, ἐν τῇ πρώτῃ ἑβδομάδι τοῦ καθίσματος αὐτῶν, πρᾶγμα ἐν τῷ τόπῳ μὴ ὠφελοῦν αὐτόν, καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. Οἱ δὲ ἀκούσαντες ἐταράχθησαν καὶ εἶπον· εἰ ὅλως λογισμὸν εἶχες τοῦ μεταβῆναι, εἰς τί τοσοῦτον κόπον ὑπεμείναμεν οἰκοδομήσαντες τὸ κελλίον; μέλλουσι δὲ καὶ οἱ ἄνθρωποι πάλιν σκανδαλισθέντες εἰς ἡμᾶς λέγειν· ἰδοὺ μετέβησαν πάλιν οἱ ἀκάθιστοι;

4. Ὁ δὲ Γέρων, ἰδὼν αὐτοὺς ὀλιγοψυχοῦντας, ἔφη· εἰ καὶ σκανδαλισθήσονταί τινες, ἀλλ' ἕτεροι οἰκοδομηθήσονται λέγοντες· μακάριοι οὗτοι, ὅτι διὰ τὸν Θεὸν μετέβησαν πάντων καταφρονήσαντες· πλὴν ὁ θέλων ἐλθεῖν, ἐλθέτω· ἐγὼ τέως ὑπάγω· οἱ δὲ ῥίψαντες ἑαυτοὺς εἰς τὸ ἔδαφος, ἤτουν συγχώρησιν, ἧς καὶ ἀξιωθέντες, σὺν αὐτῷ ὥδευσαν.

6. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Γελασίου, ὅτι νέος ὤν, τὸν ἀκτήμονα βίον καὶ ἀναχωρητικὸν μετήρχετο. Ἦσαν δὲ τότε καί τινες ἕτεροι κατὰ τοὺς αὐτοὺς τόπους, τὸν αὐτὸν ἐκείνῳ μετιόντες βίον, ἐν οἷς καὶ Γέρων τις ἦν εἰς ἄκρον ἁπλούστατος καὶ ἀκτήμων, ἐν μονοκελλίῳ οἰκήσας ἄχρι τελευτῆς, καίπερ μαθητὰς ἐσχηκὼς ἐν τῷ γήρᾳ αὐτοῦ. Οὗτος ἤσκησε φυλάξας τοῦ μὴ κτήσασθαι δύο χιτῶνας, μηδὲ μεριμνῆσαι περὶ τῆς αὔριον μετὰ τῶν συνόντων αὐτῷ μέχρι θανάτου.

7. Ὅτε οὖν συνέβη τὸν Ἀββᾶν Γελάσιον ἐκ θείας ἐνεργείας συστήσασθαι τὸ Κοινόβιον, προσέφερον αὐτῷ χωρία τινὰ καὶ ἐδέχετο· ἐκτήσατο δὲ καὶ βόας, καὶ ἀχθοφόρα κτήνη διὰ τὰς χρείας τοῦ Κοινοβίου· ὁ γὰρ τῷ θείῳ Παχωμίῳ πρότερον χρηματίσας συστήσασθαι Κοινόβιον, οὗτος καὶ τότε συνήργει τῷ Γέροντι, εἰς πᾶσαν τὴν τῆς μονῆς σύστασιν.

8. Ὁ οὖν προειρημένος Γέρων, βλέπων αὐτὸν ἐν τούτοις, καὶ γνησίαν σῴζων τὴν πρὸς αὐτὸν ἀγάπην καὶ παῤῥησίαν, ἔλεγεν αὐτῷ· φοβοῦμαι, Ἀββᾶ Γελάσιε, μὴ δεθῇ ὁ νοῦς σου εἰς τὰ χωρία καὶ τὴν λοιπὴν κτῆσιν τοῦ Κοινοβίου. Ὁ δὲ πρὸς αὐτὸν ἀνθυπέφερε· πλεῖον ὁ σὸς λογισμὸς δέδεται εἰς τὸ κεντητήριον μεθ' οὗ ἐργάζῃ, ἢ ὁ λογισμὸς Γελασίου εἰς τὰ τοῦ Κοινοβίου κτήματα.

9. Ἔλεγόν τινες Γέροντες περὶ τοῦ Ἀββᾶ Γεωργίου τοῦ Ἀναχωρητοῦ, ὅτι τριάκοντα καὶ πέντε ἔτη ἐποίησε γυμνὸς περιερχόμενος εἰς τὰς ἐρήμους· τοῦτο δὲ καὶ ἕτεροι πολλοὶ τῶν Ἁγίων εὑρίσκονται κατορθώσαντες.

10. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Εὐτρόπιον· Πῶς δεῖ ἑαυτὸν εἰς τὰ σωματικὰ διοικεῖν; καὶ εἶπεν ὁ Γέρων· χόρτον φάγε, χόρτον φόρεσον, εἰς χόρτον κοιμῶ· τὴν δὲ καρδίαν κέκτησο σιδηρᾶν, ἁπάντων καταφρονῶν. Ἤτοι πάντα ὁ Γέρων ὡς χόρτον ἡγεῖσθαι τῷ ἀδελφῷ παραινεῖ, ἢ γυμνητεύειν καὶ βοτάνοις τὴν χρείαν πληροῦν.

11. Ὁ αὐτὸς Γέρων εἶπε· τὰ σωματικὰ ὗλαι παθῶν καὶ φροντίδων εἰσίν· ὁ ἀγαπῶν αὐτά, ἀγαπᾷ προσκόμματα· εἴποτε οὖν συμβῇ τι τοιοῦτον ἀπολέσθαι, ἐξομολογεῖσθαι δεῖ ἡμᾶς, καὶ χαίρειν ὡς φροντίδων ἀπαλλαγέντας.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἠσθένησεν ὁ Ἀββᾶς Ἀρσένιος εἰς τὸ ἐρημητήριόν του καὶ εἶχεν ἀνάγκην ἀπὸ ἕνα λύχνον διὰ τὴν νύκτα. Ἐπειδὴ δὲ δὲν εἶχε χρήματα νὰ τὸν ἀγοράσῃ, τοῦ ἔδωσε κάποιος ἐξ ἀγάπης. Εὐχαριστημένος τότε ὁ Ἀββᾶς εἶπε· «Σὲ εὐχαριστῶ, Κύριε, διότι μὲ ἠξίωσας νὰ δεχθῶ ἐλεημοσύνην διὰ τὸ ὄνομά Σου».

2. Ὁ Ἀββᾶς Μάρκος ἠρώτησε τὸν ἴδιον, τὸν Ἀββᾶν Ἀρσένιον.

—Εἶναι καλὸν νὰ μὴ ἔχῃ κανεὶς καὶ τὴν παραμικροτέραν παράκλησιν εἰς τὸ κελλίον του; Τὸ λέγω αὐτό, διότι εἶδον ἕνα ἀδελφόν μας, ποὺ εἶχε εἰς τὸ κηπάριον του ὀλίγα κηπουρικὰ καὶ τὰ ἐξερρίζωνε.

Ὁ Ἀββᾶς Ἀρσένιος τοῦ ἀπήντησε.

—Εἶναι καλόν, ἐφ' ὅσον τοῦτο βοηθεῖ τὸν ἄνθρωπον εἰς τὴν κατὰ Θεὸν συνήθειαν, δηλαδὴ εἰς τὴν ἐνίσχυσιν τῆς πνευματικῆς καταστάσεως τῆς ψυχῆς, καὶ εἰς τὴν πρόοδον τῆς ἀρετῆς. Διότι ἐὰν δὲν ἔχῃ δύναμιν ὁ Μοναχὸς νὰ συνηθίζῃ εἰς τὸν ἀγῶνα τῆς τελειότητος

καὶ νὰ ἐπιμένῃ εἰς αὐτόν, πάλιν θὰ φυτεύσῃ ἄλλα ἐκεῖ, ποὺ ἐξερρίζωσε τὰ προηγούμενα.

3. Διηγήθησαν διὰ τὸν Ἀββᾶν Ἀγάθωνα τὸ ἑξῆς περιστατικόν: Αὐτὸς μὲ τοὺς μαθητάς του ἐκοπίασαν ἀρκετὸν καιρὸν εἰς ἕνα μέρος, διὰ νὰ κτίσουν ἕνα κελλάκι. Ἀφοῦ λοιπὸν τὸ ἔκτισαν καὶ ἐγκατεστάθησαν εἰς αὐτό, ἀντελήφθη ὁ Γέρων, κατὰ τὴν πρώτην ἑβδομάδα, κάποιο πρᾶγμα, ποὺ δὲν τὸν ὠφέλει πνευματικῶς. Καὶ τότε ἀμέσως λέγει εἰς τοὺς μαθητάς του.

—Ἐμπρός, σηκωθῆτε νὰ φύγωμεν ἀπὸ ἐδῶ.

Οἱ μαθηταὶ ἐταράχθησαν ἐκ τῆς ἀπροσδοκήτου αὐτῆς ἀποφάσεως τοῦ Γέροντός των καὶ τοῦ ἀπήντησαν:

—Ἐὰν εἶχες εἰς τὸν νοῦν σου νὰ φύγῃς, τότε πρὸς τί νὰ ὑποφέρωμεν τόσους κόπους, διὰ νὰ κτίσωμεν τὸ κελλίον; Ἀλλὰ καὶ οἱ ἄνθρωποι, ποὺ θὰ τὸ μάθουν, ἀσφαλῶς θὰ σκανδαλισθοῦν καὶ θὰ εἴπουν· νὰ καὶ πάλιν ἀνεχώρησαν· εἶναι ἀκατάστατοι καὶ γυρολόγοι.

4. Ὁ Γέρων, βλέπων αὐτοὺς νὰ λιποψυχοῦν, τοὺς λέγει:

—Ἴσως βεβαίως σκανδαλισθοῦν μερικοί· ἀλλὰ καὶ ἀρκετοὶ θὰ οἰκοδομηθοῦν πνευματικῶς, διότι θὰ εἴπουν: αὐτοὶ εἶναι μακάριοι, διότι χάριν τῆς ἀγάπης τοῦ Θεοῦ, κατεφρόνησαν καὶ τὰ κτίσματα καὶ τοὺς κόπους, καὶ ἀνεχώρησαν. Πάντως ἐγὼ ἀναχωρῶ καὶ ὅποιος θέλει νὰ μὲ ἀκολουθήσῃ, ἂς ἔλθῃ.

Τότε οἱ μαθηταὶ ἔβαλον ἐδαφιαίαν μετάνοιαν εἰς τὸν Γέροντα καὶ ἐζήτησαν συγχώρησιν, λαβόντες δὲ ταύτην ἀνεχώρησαν εὐθὺς μετὰ τοῦ Γέροντος.

5. Διὰ τὸν ἴδιον πάλιν Γέροντα, τὸν Ἀγάθωνα, διηγοῦντο, ὅτι πολλὰς φορὰς ἀνεχώρει ἀπὸ τόπου εἰς τόπον, χωρὶς νὰ ἔχῃ τίποτε ἄλλο μαζί του, ἐκτὸς ἀπὸ τὴν σμίλην εἰς τὸ σακκούλι, μὲ τὴν ὁποίαν ἔπλεκε τὸ ἐργόχειρον.

6. Καὶ διὰ τὸν Ἀββᾶν Γελάσιον διηγοῦντο τὸ ἑξῆς: ὅταν ἦτο νέος ἠγάπησε τὴν ἀκτημοσύνην καὶ ἔζη ὡς Ἀναχωρητής. Μαζί του, εἰς τὸ ἴδιον μέρος, ἠσκήτευον μὲ τὸν αὐτὸν ἀναχωρητικὸν τρόπον καὶ μερικοὶ ἄλλοι. Μεταξὺ αὐτῶν ἔζη καὶ ἕνας Γέρων πολὺ ἁπλοῦς καὶ τελείως ἀκτήμων. Αὐτός, ἂν καὶ κατὰ τὰ τελευταῖα χρόνια τῆς ζωῆς του ἀπέκτησε καὶ μαθητάς, ἐν τούτοις ἔζησε μέχρι τοῦ θανάτου του, εἰς ἕνα μικρὸν μοναχικὸν κελλίον. Ἀκόμη ὁ Γέρων αὐτὸς ἐγύμνασε τὸν ἑαυτόν του νὰ φυλαχθῇ ἀπὸ τοῦ νὰ μὴ ἀποκτήσῃ δεύτερον χιτῶνα, οὔτε νὰ μεριμνήσῃ διὰ τὴν ἑπομένην ἡμέραν· εἰς τὰς ἀρχὰς αὐτὰς παρέμεινε συνεπὴς αὐτὸς καὶ ἡ συνοδεία του, μέχρι τοῦ θανάτου του.

7. Κάποτε λοιπὸν ὁ Ἀββᾶς Γελάσιος, ἐκ θείας ἐνεργείας συνέστησε Κοινόβιον· ἐξ εὐλαβείας οἱ ἄνθρωποι τοῦ προσέφερον καὶ διάφορα χωράφια διὰ τὸ Κοινόβιον, τὰ ὁποῖα ἐδέχθη. Διὰ τὰς ἀνάγκας

τοῦ Κοινοβίου ἀπέκτησε καὶ διάφορα ζῷα, βόδια, μεταφορικὰ κτήνη καὶ ἄλλα τοιαῦτα.

ΑΔΕΛΦΕ, πρόσεχε ἐν ὅλῃ καρδίᾳ σου τῇ ἀναγνώσει τῶν θείων Γραφῶν, καὶ σύμπινε τὴν ἐξ αὐτῶν γινομένην πιότητα ἐν τῇ ψυχῇ, ὥσπερ νήπιον θηλάζον μαστόν· ἐξ αὐτῶν γὰρ μαθήσῃ τὰ ἆθλα τῶν ἀρετῶν, καὶ ἔσται χαρὰ καὶ ἀγαλλίασις τῇ καρδίᾳ σου.

2. Εἰ γὰρ οἱ τοῦ κόσμου τούτου ἐξηγηταὶ ἐπιμελῶς κέχρηνται τῇ ἀναγνώσει τῆς μὴ οὔσης σοφίας, ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι, πολλῷ μᾶλλον ἡμᾶς χρὴ μελετᾶν καὶ ἐκμανθάνειν τὰ λόγια τοῦ Θεοῦ πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν· καὶ γὰρ τὸ Πνεῦμα τὸ Ἅγιον μακαρίζει τοὺς ἐξερευνῶντας τὰ μαρτύρια Αὐτοῦ, ὅτι ἐν ὅλῃ καρδίᾳ ἐκζητήσωσιν Αὐτόν.

3. Τίς πονηρότερος τοῦ ἔχοντος ὕδωρ γλυκύ, καὶ μὴ ποτίζοντος ψυχὴν διψῶσαν; ἢ τίς φθονερώτερος τοῦ κεκτημένου βιβλίον ὠφέλιμον, καὶ μὴ μεταδιδόντος τῷ ἀδελφῷ πρὸς οἰκοδομήν; τίς ὀκνηρότερος τοῦ διψῶντος, καὶ καθημέ-

νου πλησίον πηγῆς, καὶ τὰς χεῖρας μὴ ἐκτείνοντος ἵνα, λαβὼν ὕδωρ, παύσῃ τὴν δίψαν; ἢ τίς ἀμελέστερος τοῦ ἔχοντος, ἢ λαμβάνοντος βιβλίον, καὶ τῆς ἀναγνώσεως ἀμελοῦντος;

4. Ἀδελφέ, συγκοπίασον τῷ ἐπιδεομένῳ ἀδελφῷ μαθεῖν γράμματα, ὅπως ἀναγινώσκων τὰ θαυμάσια τοῦ Θεοῦ εὐλογῇ τὸ μεγαλοπρεπὲς Αὐτοῦ ὄνομα, καὶ Αὐτὸς ἔσται σοι μισθαποδότης.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, πρόσεχε μὲ ὅλην σου τὴν καρδίαν, ὅταν μελετᾷς τὰς θείας Γραφάς, νὰ πίνῃς μὲ ἀπληστίαν τὴν γλυκερὰν παχύτητα, ποὺ προέρχεται ἀπὸ τὴν μελέτην, εὐχαριστῶν τὴν ψυχήν σου, ἀπαράλλακτα ὅπως τὸ νήπιον πίνει τὸ γάλα ἀπὸ τὸν μητρικὸν μαστόν. Ἀπὸ τὴν μελέτην τῶν θείων Γραφῶν θὰ πληροφορηθῇς τὰ λαμπρὰ κατορθώματα τῶν ἀρετῶν καὶ οὕτω ἡ καρδία σου θὰ γεμίσῃ ἀπὸ χαρὰν καὶ εὐφροσύνην.

2. Ἐὰν οἱ ἑρμηνευταὶ τῶν συγγραμμάτων τῶν σοφῶν τοῦ κόσμου τούτου μὲ μεγάλην φροντίδα μελετοῦν τὴν ἀνύπαρκτον σοφίαν, διότι ἡ σοφία τοῦ παρόντος κόσμου «μωρία παρὰ τῷ Θεῷ ἐστι» (Α' Κορ. γ' 19), μὲ πολὺ περισσότερον ἐνθουσιασμὸν πρέπει ἡμεῖς νὰ μελετῶμεν καὶ νὰ ἀποστηθίζωμεν τὰ λόγια τοῦ Θεοῦ, πρὸς σωτηρίαν τῶν ψυχῶν μας· καὶ αὐτὸ τοῦτο τὸ Ἅγιον Πνεῦμα ἐπαινεῖ καὶ μακαρίζει τοὺς ἐξερευνῶντας «τὰ μαρτύρια Αὐτοῦ» (Ψαλμ. ριη' 2), διότι οἱ τοιοῦτοι θὰ ἀναζητήσουν τὸν Θεὸν μὲ ὅλην των τὴν καρδίαν.

3. Ὑπάρχει περισσότερον διεστραμμένος ἀπὸ αὐτόν, ποὺ διαθέτει γλυκὺ καὶ εὔγευστον ὕδωρ καὶ δὲν ποτίζει διψασμένην ψυχήν; Ὑπάρχει πλέον φθονερὸς ἀπ' αὐτόν, ποὺ κατέχει ὠφέλιμον βιβλίον καὶ δὲν δίδει καὶ εἰς τὸν ἀδελφόν του, διὰ νὰ οἰκοδομηθῇ πνευματικῶς; Ἀλλὰ καὶ δύνασαι νὰ φαντασθῇς περισσότερον ὀκνηρὸν ἄνθρωπον, ἀπὸ αὐτὸν ποὺ διψᾷ καὶ ἐνῷ κάθεται πλησίον πηγῆς, δὲν ἁπλώνει τὰς χεῖρας του, διὰ νὰ πάρῃ νερὸ καὶ νὰ ἱκανοποιήσῃ τὴν δίψαν του; Ὑπάρχει περισσότερον ἀπρόκοπτος καὶ πνευματικῶς ἀδιάφορος, ἀπὸ ἐκεῖνον, ποὺ ἐνῷ ἔχει ἢ λαμβάνει θρησκευτικὸν βιβλίον, ἐν τούτοις δὲν φροντίζει νὰ τὸ μελετήσῃ;

4. Ἀδελφέ μου, κοπίασε καὶ σὺ μαζὶ μὲ ἐκεῖνον, ποὺ σὲ παρακαλεῖ νὰ τὸν μάθῃς γράμματα, διὰ νὰ δυνηθῇ νὰ μελετήσῃ τὰ θαυμάσια τοῦ Θεοῦ καὶ οὕτω νὰ εὐλογῇ τὸ μεγαλοπρεπὲς Αὐτοῦ ὄνομα. Νὰ εἶσαι βέβαιος, ὅτι ὁ Θεὸς θὰ σοῦ ἀποδώσῃ τὸν μισθόν σου διὰ τὸν κόπον σου αὐτόν.

Γ'. Τοῦ Αββᾶ Μάρκου.

ΕΠΙΚΑΛΟΥ τὸν Θεόν, ἵνα ἀνοίξῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου, καὶ ἴδῃς τὴν ὠφέλειαν τῆς προσευχῆς καὶ τῆς ἀναγνώσεως.

Ἑρμηνεία

ΝΑ ΠΑΡΑΚΑΛῌΣ τὸν Θεόν, νὰ διανοίξῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου, ὥστε νὰ ἀντιληφθῇς, ἐξ ἰδίας πείρας, τὴν ὠφέλειαν τῆς προσευχῆς καὶ τῆς ἀναγνώσεως.

Δ'. Τοῦ Ἁγίου Ἰσαάκ.

ΑΝΑΓΝΩΘΙ συνεχῶς καὶ ἀκορέστως ἐν ταῖς βίβλοις τῶν διδασκάλων, περὶ Προνοίας Θεοῦ, διότι αὗται καθοδηγοῦσι τὸν νοῦν εἰς τὸ ἰδεῖν τὴν τάξιν τῶν κτισμάτων τοῦ Θεοῦ, καὶ τὴν γνῶσιν τῶν ἔργων Αὐτοῦ, καὶ ἐνδυναμοῦσιν αὐτὸν ἐξ ἑαυτῶν, καὶ κατασκευάζουσι κεκτῆσθαι νοήματα φωτολαμπῆ ἐκ τῆς λεπτότητος αὐτῶν, καὶ ὁδεῦσαι ποιοῦσι μετὰ καθαρότητος πρὸς κατανόησιν τῶν κτισμάτων τοῦ Θεοῦ.

2 Ἔστω σου ἡ ἀνάγνωσις ἐν ἠρεμίᾳ ἀπὸ πάντων, καὶ γενοῦ ἐλεύθερος ἀπὸ τῆς πολλῆς μερίμνης τοῦ σώματος, καὶ τῆς ταραχῆς τῶν πραγμάτων, ἵνα γεύσεως ἡδίστης τῇ ψυχῇ σου γεύσῃ διὰ γλυκείας κατανοήσεως, καὶ αἰσθηθῇ αὐτῶν ἡ ψυχή, καὶ ἐν τῇ διαμονῇ αὐτῶν εὐφρανθῇ εἰς αὐτά.

3. Μὴ ἔστωσαν πρὸς σὲ οἱ λόγοι τῶν δοκίμων ὡς οἱ τῶν ἐπιπλάστων καὶ ἀπεμπολούντων τὰ θεῖα λόγια, ἵνα μὴ μείνῃς ἐν τῷ σκότει μέχρι τέλους τῆς ζωῆς σου, καὶ στερηθῇς τοῦ κέρδους αὐτῶν.

4. Σχόλασον τῇ ἀναγνώσει τῶν Γραφῶν τῇ ἐμφανιζούσῃ τὴν ὁδὸν τῆς λεπτοτάτης θεωρίας, κἂν μὴ ἀπαρχῆς αἰσθάνῃ τῆς γλυκύτητος, διὰ τὸ μήπω κεκαθάρσαι σου τὸν νοῦν καὶ ἀποστῆναι τῆς ὕλης.

5. Καὶ ὅταν ἀναστῇς εἰς τὴν προσευχὴν καὶ τὸν κανόνα, ἀντὶ τῆς κοσμικῆς μελέτης, ἣν εἶδες καὶ ἤκουσας, εὑρεθήσῃ εἰς τὴν μελέτην τῶν Γραφῶν, ὧν ἀνέγνως, καὶ ἐπιλανθάνῃ τῆς μερίμνης ἐκείνων, καὶ οὕτως ἄρχεται ὁ νοῦς καθαίρεσθαι, καὶ τοῦτό ἐστι τὸ γεγραμμένον, ὅτι ψυχὴ βοηθεῖται ὑπὸ τῆς ἀναγνώσεως, ὅταν στῇ εἰς προσευχήν, καὶ πάλιν ἐκ τῆς προσευχῆς φωτίζεται εἰς τὴν ἀνάγνωσιν, καὶ ἡ ἀνάγνωσις, ὡς εἴρηται, ἀντὶ τῆς ἐξωτικῆς φύρσεως, ὕλη εὑρίσκεται τῷ τρόπῳ τῆς προσευχῆς.

6. Ἕως οὗ δέξηται ὁ ἄνθρωπος τὸν Παράκλητον, δέεται τῶν θείων Γραφῶν, ἵνα ἡ μνήμη τῶν ἀγαθῶν ἐντυπωθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ ἐκ τῆς ἀδιαλείπτου ἀναγνώσεως ἀνακαινίζεται ἐν αὐτῷ ἡ πρὸς τὸ ἀγαθὸν κίνησις, καὶ φυλάττει τὴν ψυχὴν αὐτοῦ ἐκ τῆς λεπτότητος τῶν ὁδῶν τῆς ἁμαρτίας, διότι οὔπω ἐκτήσατο τὴν δύναμιν τοῦ Πνεύματος τὴν μακρύνουσαν ἀπὸ τοῦ νοὸς τὴν λήθην, ἥτις λήθη ἐξαλείφει ἐξ αὐτοῦ τὰς ψυχωφελεῖς μνήμας, καὶ ποιεῖ αὐτὸν σκορπίζεσθαι καὶ πλανᾶσθαι.

7. Ὅτε γὰρ ἡ δύναμις τοῦ Πνεύματος ἐπιβῇ ἐπὶ τὴν ψυχικὴν δύναμιν τὴν δι' αὐτοῦ ἐνεργοῦσαν, τότε, ἀντὶ τοῦ νόμου τῶν Γραφῶν, ῥιζοῦνται αἱ ἐντολαὶ τοῦ Πνεύματος ἐν τῇ καρδίᾳ καὶ μανθάνει κρυπτῶς ἐκ τοῦ Πνεύματος, καὶ οὐ δέεται τῆς βοηθείας τῆς αἰσθητῆς ὕλης· ἐν ὅσῳ γὰρ ἡ καρδία ἐκ τῆς ὕλης μανθάνει, ἀκολούθως ἕπεται τῇ μαθήσει ἡ πλάνη καὶ ἡ λήθη· ὅταν δὲ ἡ διδασκαλία τοῦ πνεύματος ᾖ τότε ἡ μνήμη ἀσφαλῶς φυλάττεται.

Ἑρμηνεία

ΜΕΛΕΤΑ συνεχῶς καὶ ἀχόρταγα εἰς τὰ βιβλία τῶν ἱερῶν διδασκάλων περὶ τῆς Προνοίας τοῦ Θεοῦ, διότι τοιουτοτρόπως καθοδηγεῖται ὁ νοῦς νὰ ἀντιληφθῇ τὴν θαυμαστὴν τάξιν τῶν

κτισμάτων τοῦ Θεοῦ καὶ νὰ γνωρίσῃ τὰ ἔργα Αὐτοῦ. Τότε ὁ νοῦς δυναμώνει καὶ διαμορφώνει, διὰ τοῦ βάθους τῆς μελέτης, νοήματα καὶ σκέψεις, ποὺ ἀπαστράπτουν ἀπὸ φῶς· ἐν τέλει ἡ μελέτη τῶν βιβλίων τῶν ἱερῶν διδασκάλων βοηθεῖ τὸν νοῦν νὰ προχωρήσῃ μετὰ πνευματικῆς καθαρότητος εἰς τὴν βαθυτέραν γνῶσιν τῶν κτισμάτων τοῦ Θεοῦ.

2. Ὅταν μελετᾷς, νὰ φροντίζῃς νὰ εἶσαι ἤρεμος εἰς ὅλα, νὰ ἐλευθερωθῇς ἀπὸ τὴν ὑπερβολικὴν βιοτικὴν μέριμναν καὶ ἀπὸ τὴν ταραχήν, ποὺ δημιουργοῦν εἰς τὴν ψυχὴν τὰ διάφορα πράγματα τῆς ζωῆς· τότε μόνον θὰ δυνηθῇς νὰ ἀπολαύσῃς εἰς τὴν ψυχήν σου μίαν γλυκυτάτην γεῦσιν ὀφειλομένην εἰς τὴν γλυκεῖαν πνευματικὴν ἡδονὴν ἐκ τῆς κατανοήσεως τῶν ἀναγιγνωσκομένων· ἡ ψυχὴ θὰ αἰσθανθῇ τὸ βαθύτερον νόημα τῶν ἀναγιγνωσκομένων καὶ ἀποτυπώνουσα σταθερῶς αὐτὰ θὰ εὐχαριστῆται εἰς αὐτά.

3. Νὰ σέβεσαι τὰ συγγράμματα καὶ τὰς διδασκαλίας τῶν γνησίων συγγραφέων καὶ νὰ μὴ θεωρῇς αὐτὰ ὅπως τὰ ἔργα, ποὺ ἔχουν μόνον ἐξωτερικὴν ἀξίαν καὶ περιφρονοῦν τὰ θεῖα λόγια, διὰ νὰ μὴ παραμείνῃς τυφλὸς μέχρι τέλους τῆς ζωῆς σου καὶ στερηθῇς ἀπὸ τὸ θεοφιλὲς κέρδος των.

4. Νὰ ἀφοσιωθῇς εἰς τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν, ποὺ ἀποκαλύπτουν εἰς τὸν ἄνθρωπον τὸν δρόμον πρὸς τὴν πλέον ἐναργεστάτην ὀπτασίαν τοῦ θείου μεγαλείου, ἔστω καὶ ἐάν, ἀμέσως, δὲν δοκιμάσῃς τὴν γλυκύτητα τῶν νοημάτων, ἐπειδὴ ἀκόμη ὁ νοῦς σου δὲν ἔχει καθαρισθῇ καὶ δὲν ἔχει ἀπομακρυνθῇ τῆς ὕλης.

5. Ὅταν σηκωθῇς δὲ διὰ τὴν προσευχὴν καὶ τὸν κανόνα, ἀντὶ τῆς κοσμικῆς ἐνασχολήσεως τοῦ νοῦ σου εἰς ὅσα εἶδες καὶ ἤκουσες, νὰ ἐνδιατρίβῃς εἰς τὴν βαθυτέραν κατανόησιν τῶν νοημάτων, ποὺ ἀνέγνωσες εἰς τὰς Ἁγίας Γραφὰς καὶ νὰ λησμονῇς τὴν μέριμναν τῶν κοσμικῶν πραγμάτων. Τοιουτοτρόπως ὁ νοῦς σου θὰ ἀρχίσῃ νὰ καθαρίζεται· αὐτὴ δὲ εἶναι καὶ ἡ σημασία τοῦ ἐκκλησιαστικοῦ ρητοῦ· «ψυχὴ βοηθεῖται ὑπὸ τῆς ἀναγνώσεως ὅταν στῇ εἰς προσευχὴν καὶ πάλιν ἐκ τῆς προσευχῆς φωτίζεται εἰς τὴν ἀνάγνωσιν».

Εἰς τὴν περίπτωσιν αὐτὴν ἡ ἀνάγνωσις, ὅπως ἐλέχθη, ἀντὶ νὰ ἀπασχολῇ τὸν νοῦν μας μὲ ὑλικὰ πράγματα, γίνεται ὑλικὸν διὰ τὸν τρόπον μὲ τὸν ὁποῖον προσευχόμεθα.

6. Μέχρις ὅτου δεχθῇ ὁ ἄνθρωπος εἰς τὴν ψυχήν του τὸν Παράκλητον, ἔχει ἀνάγκην ἀπὸ τὰς θείας Γραφάς, διὰ νὰ ἐντυπωθῇ εἰς τὴν καρδίαν ἡ ἐνθύμησις τῶν ἀγαθῶν καὶ διὰ τῆς συνεχοῦς ἀναγνώσεως νὰ ἀνανεώνεται μέσα του ἡ κίνησις καὶ ἡ ροπὴ πρὸς τὸ ἀγαθόν· τοιουτοτρόπως δὲ θὰ προφυλάσσεται ἡ ψυχὴ ἀπὸ τὰ δυσδιάκριτα μονοπάτια τῆς ἁμαρτίας, ἐπειδὴ ἀκόμη δὲν ἀπέκτησε τὴν δύναμιν τοῦ Πνεύματος, νὰ ἀπομακρύνῃ ἀπὸ τὸν νοῦν τὴν λησμοσύνην, ποὺ σβύνει τὰς ψυχωφελεῖς ἐνθυμήσεις καὶ ἐξαναγκάζει τὸν νοῦν νὰ σκορπίζῃ καὶ νὰ περιπλανᾶται εἰς ἄσκοπα πράγματα.

7. Διότι ὅταν πλέον ἡ δύναμις αὐτὴ τοῦ Πνεύματος ἐπικαθήσῃ εἰς τὴν ψυχικὴν δύναμιν, ἡ ὁποία ἐνεργεῖ μὲ τὴν βοήθειαν τοῦ Πνεύματος, τότε εἰς τὴν καρδίαν ριζώνονται αἱ ἐντολαὶ τοῦ Πνεύματος, ἀντὶ τοῦ νόμου τῶν Γραφῶν, καὶ οὕτω ὁ ἄνθρωπος πληροφορεῖται μυστικῶς ὑπὸ τοῦ Πνεύματος, χωρὶς νὰ ἔχῃ ἀνάγκην ἀπὸ τὴν αἰσθητὴν ὕλην, εἰς τὸ ἔργον τῆς πνευματικῆς του οἰκοδομῆς.

Ἐφ᾽ ὅσον ἡ καρδία μὲ τὴν βοήθειαν μόνον τῆς ὕλης, τῶν γραμμάτων καὶ τῶν λέξεων, πληροφορεῖται τὰ δέοντα, ἀκολουθοῦν τὴν ἐνέργειαν αὐτήν, ὡς φυσικὰ ἐνδεχόμενα, ἡ πλάνη καὶ ἡ λησμοσύνη.

Ὅταν ὅμως ἡ διδασκαλία προέρχεται κατ᾽ εὐθεῖαν ἀπὸ τὴν ἐνέργειαν τοῦ Πνεύματος, τότε καὶ ἡ ἐνθύμησις τοῦ ἀγαθοῦ διατηρεῖται ἀσφαλῶς.






·ὙΠΌΘΕϹΙϹ ΙϚʹ·

Ὅτι ὀφείλομεν ἃ ἀναγινώσκομεν καὶ ποιεῖν, οὐ γὰρ ἐν λόγῳ ἡ σωτηρία, ἀλλ' ἐν ἔργῳ· διὸ ἡ ψιλὴ γνῶσις ἀνωφελής ἐστι. Καὶ ὅτι δεῖ τὸν πνευματικὸν μὴ ἐναπομένειν τῷ γράμματι, ἀλλὰ ἀγωνίζεσθαι καὶ εἰς τὸ πνεῦμα διαβαίνειν.

Αὐτὰ ποὺ διαβάζομεν πρέπει καὶ νὰ τὰ ἐκτελῶμεν· διότι ἡ σωτηρία ἐπιτυγχάνεται μὲ ἔργα καὶ ὄχι μὲ λόγους. Διὰ τοῦτο ἡ ἁπλῆ γνῶσις δὲν ὠφελεῖ. Ὁ πνευματικὸς ἄνθρωπος δὲν πρέπει νὰ περιορίζεται εἰς τὸ γράμμα τοῦ κειμένου, ἀλλὰ νὰ ἀναζητῇ τὴν ὑψηλοτέραν ἔννοιαν, τὸ πνεῦμα αὐτοῦ.

Αʹ. Τοῦ Ἀββᾶ Ἡσαΐου.



ΕΑΝ ΤΙΣ σκεῦος κτήσηται πρὸς τὴν ἑαυτοῦ χρείαν, καὶ ἐν καιρῷ τῆς χρείας μὴ εὕρῃ αὐτό, εἰς μάτην αὐτὸ κέκτηται.

2. Τοιοῦτος ἐστὶν ὁ λέγων ὅτι φοβοῦμαι τὸν Θεόν, καὶ οἶδα τὰς Γραφάς, ἐπὰν δὲ φθάσῃ εἰς τὴν ὥραν τῆς χρείας, μὴ εὕρῃ τὸν φόβον τοῦ Θεοῦ ἐν καιρῷ ἢ θυμοῦ, ἢ παῤῥησίας, ἢ τοῦ διδάξαι ἕτερον εἰς ὃ μὴ ἔφθασεν, ἢ ἀνθρωπαρεσκείας καὶ τῶν ἑτέρων παθῶν.

3. Ἐὰν οὖν μὴ εὕρῃ τὸν φόβον τοῦ Θεοῦ ἐν τῷ καιρῷ τούτῳ, μάτην πέποιθεν ἐπὶ τῇ γνώσει τῶν θείων Γραφῶν.

Ἑρμηνεία

ΕΑΝ ΕΝΑΣ ἄνθρωπος ἀποκτήσῃ ἕνα σκεῦος καὶ δὲν τὸ εὕρῃ εἰς τὴν ὥραν τῆς ἀνάγκης του, διὰ νὰ τὸ χρησιμοποιήσῃ, ματαίως τὸ ἀπέκτησεν.

2. Ἀκριβῶς τὸ ἴδιον συμβαίνει καὶ μὲ τὸν ἄνθρωπον, ποὺ λέγει, ὅτι φοβοῦμαι τὸν Θεὸν καὶ γνωρίζω τὰς Γραφάς· ὅταν ὅμως ἔλθῃ εἰς ὥραν ἀνάγκης δὲν ἐνεργεῖ μὲ φόβον Θεοῦ.

Δηλαδή, ὁ τοιοῦτος ἄνθρωπος, εἰς στιγμὴν θυμοῦ, ἢ ἐλευθεροστομίας, ἢ διδασκαλίας ἄλλου περὶ ἐκείνου εἰς τὸ ὁποῖον δὲν ἔφθασεν ἀκόμη, ἢ ἀνθρωπαρεσκείας, ἢ τέλος ἄλλων παθῶν, κατ' ἐκείνην τὴν στιγμὴν τῆς ἐξάψεως τοῦ πάθους δὲν ὁδηγεῖται εἰς τὰς σκέψεις καὶ ἐνεργείας του, ἀπὸ τὸν φόβον τοῦ Θεοῦ.

3. Ἐὰν λοιπὸν ὁ ἄνθρωπος αὐτὸς δὲν εὕρῃ τὸν φόβον τοῦ Θεοῦ εἰς τὴν ἀναγκαίαν περίστασιν, ματαίως καυχᾶται διὰ τὴν γνῶσιν τῶν θείων Γραφῶν.

Β'. Τοῦ Ἀββᾶ Μάρκου.

Ο ΤΑΠΕΙΝΟΦΡΩΝ καὶ ἔργον ἔχων πνευματικόν, ἀναγινώσκων τὰς θείας Γραφάς, πάντα εἰς ἑαυτὸν νοήσει, καὶ οὐκ εἰς ἕτερον· τὰ παρὰ τῆς Γραφῆς εἰρημένα, οὐχ ἵνα νοήσωμεν μόνον, ἀλλ' ἵνα καὶ ποιήσωμεν αὐτὰ εἴρηται.

2. Τινὲς γὰρ ψιλὰ νοήματα ταῦτα νομίσαντες, καὶ διὰ τοῦτο βίβλους κτησάμενοι, καὶ γνόντες τὴν τῶν γεγραμμένων δύναμιν, μηδὲν δὲ τούτων ἐργασάμενοι, ὑπερφυσσῶνται ἐπὶ ψιλοῖς τοῖς νοήμασι, καὶ διὰ λόγων καὶ ζητημάτων συνιστῶντες ἑαυτούς, μέγαν παρὰ τοῖς ἀπείροις τῆς κατὰ Θεὸν φιλοσοφίας φέρουσιν ἔπαινον, τῆς φιλοπονίας ὡς εἴρηται μὴ ἁψάμενοι, μηδὲ τὸ ἔργον ὅλως μνησθέντες.

3. Οὗτοι δὲ πολλὴν παρὰ Θεοῦ καὶ τῶν φιλοπόνων καὶ εὐσεβῶν ἀνδρῶν ἀποφέρονται τὴν κατάγνωσιν, διότι τῇ εἰσαγωγικῇ γνώσει τῶν Γραφῶν, οὐ πρὸς ἔργον, ἀλλὰ πρὸς ἐπίδειξιν ἀποχρησάμενοι, τῆς κατ' ἐνέργειαν γνώσεως τοῦ Ἁγίου Πνεύματος ἐστερήθησαν, οἵ, κατὰ τὴν Γραφήν, οὐκ ἐν καρδίᾳ, ἀλλ' ἐν προσώπῳ καυχῶνται, καὶ δικαίως ὑπ' αὐτῆς ἀνακόπτονται, λεγούσης· «ἴσθι πεποιθὼς ἐπὶ Κύριον ἐν ὅλῃ καρδίᾳ σου, ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου».

4. Μὴ ἐπαρθῇς τῇ καρδίᾳ σου ἐπὶ νοήμασι γραφικοῖς, μήποτε τῷ πνεύματι τῆς βλασφημίας περιπέσῃς κατὰ νοῦν. Ἀναγινώσκων τὰς θείας Γραφὰς νόει τὰ κεκρυμμένα, ὅσα γὰρ προεγράφη, φησίν, εἰς ἡμετέραν διδασκαλίαν πάντως προεγράφη. Τῆς Γραφῆς τὰ ῥήματα, διὰ τῶν πράξεων ἀναγίνωσκε, καὶ μὴ πλατυλόγει ἐπὶ ψιλοῖς τοῖς νοήμασι φυσιούμενος.

5. Ὁ γὰρ ἀφεὶς τὴν πρᾶξιν, καὶ γυμνῇ τῇ γνώσει ἐπερειδόμενος, ἀντὶ διστόμου μαχαίρας, καλαμίνην ῥάβδον κρατεῖ, ἥτις ἐν καιρῷ πολέμου, κατὰ τὴν Γραφήν, τρήσει τὴν χεῖρα αὐτοῦ καὶ εἰς αὐτὴν ἐλεύσεται, τὸν ἰὸν τῆς φύσεως πρὸ τῶν πολεμίων ἐμβάλλουσα.

6. Ὅσοι, προφάσει ἀγώνων, τῶν ἀμελεστέρων κατεπαίρονται, οὗτοι ἐξ ἔργων σωματικῶν δικαιοῦσθαι νομίζουσιν· ὅσοι δὲ ἐπαιρόμενοι ψιλῇ τῇ γνώσει τοὺς ἀγνοοῦντας εὐτελίζουσιν, οὗτοι ἐκείνων πολὺ ἀφρονέστεροι τυγχάνουσιν.

7. Ἐκτὸς τῶν κατ' αὐτὴν ἔργων, οὔπω βεβαία ἡ γνῶσις, κἂν ἀληθὴς τυγχάνῃ, διότι παντὶ πράγματι τὸ ἔργον ἐστὶ βεβαίωσις· πολλάκις ἐκ τῆς κατὰ τὴν πρᾶξιν ἀμελείας, καὶ ἡ γνῶσις σκοτίζεται, ὧν γὰρ αἱ ἐργασίαι καθόλου παρελογίσθησαν, τούτων αἱ μνῆμαι κατὰ μέρος οἰχήσονται.

8. Σοφία ἐστίν, οὐ μόνον τὸ διὰ φυσικῆς ἀκολουθίας εἰδέναι τὴν ἀλήθειαν, ἀλλὰ καὶ τὸ ὑπομένειν ὡς ἰδίαν τὴν τῶν ἀδικούντων πονηρίαν· οἱ μὲν γὰρ τῇ προτέρᾳ ἐναπομείναντες, πρὸς ὑπερηφανίαν ἐπήρθησαν· οἱ δὲ ἐπὶ τὴν δευτέραν φθάσαντες, ταπεινοφροσύνην ἐκτήσαντο.

Ἑρμηνεία

Ο ΤΑΠΕΙΝΟΦΡΩΝ καὶ ἀσχολούμενος μὲ ἔργα πνευματικά, ὅταν διαβάζῃ τὰς θείας Γραφάς, ὅλα τὰ νοήματα αὐτῶν θὰ τὰ προσαρμόσῃ εἰς τὸν ἑαυτόν του καὶ ὄχι εἰς τοὺς ἄλλους. Τὰ γραφόμενα εἰς τὴν Ἁγίαν Γραφήν, δὲν ἔχουν γραφῆ διὰ νὰ τὰ ἐννοῶμεν μόνον, ἀλλὰ καὶ διὰ νὰ τὰ ἐφαρμόζωμεν.

2. Μερικοὶ ἐνόμισαν, ὅτι ἡ Ἁγία Γραφὴ εἶναι μόνον σύνολον ξηρῶν καὶ ἀσχέτων πρὸς τὴν ζωὴν νοημάτων· καὶ δι' αὐτὸ ἀποκτήσαντες βίβλους καὶ ἀποστηθίσαντες τὴν σημασίαν τῶν γραφομένων, χω-

ρὶς νὰ ἐφαρμόσουν εἰς τὴν ζωήν των τίποτε ἀπὸ αὐτά, ὑπερηφανεύονται ὅτι, τάχα, γνωρίζουν τὰ περιεχόμενα εἰς αὐτὰ νοήματα, καὶ ἐπιδεικνύονται ὁμιλοῦντες περὶ τῆς Ἁγίας Γραφῆς καὶ σχολιάζοντες αὐτήν· οἱ τοιοῦτοι ἐπαινοῦνται πάρα πολὺ ἀπὸ τοὺς ἀγεύστους τῆς κατὰ Θεὸν φιλοσοφίας, χωρὶς νὰ κοπιάσουν διόλου νὰ ἐφαρμόσουν τὰ διδάγματα τῆς Ἁγίας Γραφῆς καὶ χωρὶς κἂν νὰ σκεφθοῦν ποῖον εἶναι τὸ ἔργον, τὸ πραγματικόν, τοῦ μελετητοῦ τῆς Ἁγίας Γραφῆς.

3. Οἱ τύποι αὐτοί, τῆς ἐπιφανειακῆς μελέτης, εἶναι ἄξιοι περιφρονήσεως ἀπὸ τὸν Θεόν, ἀλλὰ καὶ ἀπὸ τοὺς εὐσεβεῖς Πατέρας καταδικάζονται, διότι τὴν ὁδηγοῦσαν εἰς τὴν κατανόησιν τῆς Ἁγίας Γραφῆς γνῶσιν ἀπέκτησαν, ὄχι διὰ νὰ τὴν ἐφαρμόσουν, ἀλλὰ διὰ νὰ ἐπιδειχθοῦν ἐγωϊστικῶς εἰς τοὺς ἀνθρώπους, ὡς σοφοὶ ἐξηγηταὶ καὶ τοιουτοτρόπως ἀπεστερήθησαν τῆς ὑψηλῆς πνευματικῆς γνώσεως, ἡ ὁποία μορφοῦται εἰς τὴν καρδίαν μὲ τὴν ἐπενέργειαν τοῦ Ἁγίου Πνεύματος· οὗτοι, κατὰ τὴν Ἁγίαν Γραφήν, δὲν καυχῶνται διὰ τὴν καρδίαν των, ἀλλὰ διὰ τὸ πρόσωπόν των καὶ δικαίως ἀπορρίπτονται ὑπὸ τῆς Ἁγίας Γραφῆς, ἡ ὁποία λέγει· «ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ἐπὶ Θεῷ, ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου» (Παροιμ. γ' 5), δηλαδή, νὰ στηρίζῃς τὰς ἐλπίδας σου εἰς τὸν Θεόν, διὰ δὲ τὴν σοφίαν σου νὰ μὴ ὑπερηφανεύεσαι.

4. Πρόσεχε νὰ μὴ ὑπερηφανευθῇ ἡ καρδία σου, ἐξ αἰτίας μόνον τῆς ἑρμηνείας τῶν γραφικῶν νοημάτων, μὴ τυχὸν ὁ νοῦς σου περιπέσῃ εἰς πνεῦμα βλασφημίας. Ὅταν διαβάζῃς τὰς Ἁγίας Γραφάς, νὰ προσπαθῇς νὰ συλλαμβάνῃς τὰ βαθύτερα νοήματα, διότι «ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη» (Ρωμ. ιε' 4). Φρόντιζε νὰ μελετᾷς τὰ λόγια τῆς Ἁγίας Γραφῆς, ὥστε δι' αὐτῶν νὰ ρυθμίζῃς, κατὰ Θεόν, τὰς πράξεις σου καὶ νὰ μὴ ἀπεραντολογῇς εἰς ὑψηλὰς σκέψεις καὶ ὑπερβατικὰ νοήματα, διότι ὑπάρχει κίνδυνος νὰ φουσκώσῃς ἀπὸ ὑπερηφάνειαν.

5. Ἐκεῖνος, ποὺ ἐγκαταλείπει τὴν προσπάθειαν νὰ ἐπιτύχῃ ἕνα τέλειον καὶ ἀκριβῆ, κατὰ Χριστόν, πρακτικὸν βίον καὶ στηρίζεται μόνον ἐπὶ τῆς γυμνῆς γνώσεως, αὐτός, ἀντὶ διστόμου μαχαίρας, κρατεῖ ράβδον ἀπὸ καλάμι, ἡ ὁποία εἰς τὸν καιρὸν τοῦ πολέμου, ὅπως λέγει ἡ Ἁγία Γραφή, θὰ τρυπήσῃ τὴν χεῖρα του καὶ θὰ χύσῃ μέσα εἰς τὴν πληγὴν τὸ δηλητήριον ποὺ ἔχει ἐκ φύσεως τὸ καλάμι, πρὶν προφθάσουν νὰ τὸν βλάψουν οἱ ἐχθροί (1).

6. Ὅσοι ἐξ αἰτίας, δῆθεν, τῶν ἀγώνων των, ὑπερηφανεύονται ἀπέναντι τῶν ἀμελεστέρων, αὐτοὶ ἔχουν τὴν ἐσφαλμένην γνώμην, ὅτι θὰ δικαιωθοῦν ἀπὸ τὰ σωματικὰ ἔργα. Ὅσοι δὲ καυχῶνται διὰ τὰς ὑψηλὰς θεολογικάς των γνώσεις ἐξευτελίζοντες αὐτούς, ποὺ δὲν γνωρίζουν, οὗτοι ἀσφαλῶς εἶναι περισσότερον ἀνόητοι ἐκείνων.

---

1) Βλέπε Δ' Βασιλειῶν ιη' 21, Ἠσαΐα λς' 6 καὶ Ἰεζεκιὴλ κθ' 6.

7. Χωρὶς τὰ ἔργα, μὲ τὰ ὁποῖα πρέπει νὰ εἶναι σύμφωνος ἡ γνῶσις, αὕτη δὲν ἔχει κανένα κῦρος, ἔστω καὶ ἐὰν εἶναι ἀληθινή, διότι εἰς ἑκάστην περίπτωσιν μόνον τὰ ἔργα ἐπικυρώνουν τὸ φρόνημα καὶ τὰς διαθέσεις τοῦ ἀνθρώπου. Πολλὰς φορὰς ἡ ἀμέλεια διὰ τὴν ἐκτέλεσιν τῶν ἐπιβαλλομένων πράξεων συσκοτίζει καὶ αὐτὴν τὴν γνῶσιν· διότι ὅσων ἀνθρώπων αἱ ἐργασίαι παρεξέκλιναν ἀπὸ τὸν ὀρθὸν δρόμον, αὐτῶν ἀσφαλῶς καὶ αἱ ἐνθυμήσεις τοῦ ἀγαθοῦ, ἐν μέρει, θὰ φυγαδευθοῦν ἀπὸ τὴν ψυχήν.

8. Σοφία δὲν εἶναι μόνον ἡ γνῶσις τῆς ἀληθείας, τὴν ὁποίαν γεννᾷ ἡ διερεύνησις τῆς φυσικῆς σχέσεως πραγμάτων καὶ ἐννοιῶν, ἀλλὰ καὶ ἡ δύναμις νὰ ὑπομένῃ ὁ ἄνθρωπος τὴν κακίαν τῶν ἀδικούντων, ὡς νὰ πρόκειται περὶ ἰδικῆς του κακίας.

Ὅσοι παρέμειναν εἰς τὴν πρώτην κατάστασιν τῆς σοφίας, τὴν θεωρητικὴν οὕτως εἰπεῖν, κατελήφθησαν ἀπὸ ὑπερηφάνειαν· ὅσοι ὅμως ἔφθασαν καὶ εἰς τὸ δεύτερον στάδιον τῆς σοφίας, τὸ πρακτικόν, αὐτοὶ ἀπέκτησαν τὴν τόσον ἀπαραίτητον ταπεινοφροσύνην.

Γ'. Ἐν τῷ Γεροντικῷ.

ΕΙΠΕ Γέρων· εἰσί τινες ἐν ἀμελείᾳ τὰς ἑαυτῶν ἡμέρας δαπανῶντες καὶ λόγῳ μὲν καὶ λογισμῷ ζητοῦσι σωθῆναι, ἔργῳ δὲ οὐκ ἐπιτηδεύουσιν, ἀλλὰ τοὺς μὲν Βίους τῶν Πατέρων ἀναγινώσκουσι, τὴν δὲ ταπείνωσιν τούτων καὶ ἀκτημοσύνην, ἐγκράτειάν τε καὶ ἀγρυπνίαν, καὶ εὐχὴν καὶ γονυκλισίαν, καὶ χαμευνίαν, καὶ ἡσυχίαν, καὶ λοιπὴν ἄσκησιν οὐ μιμοῦνται.

2. Ἀλλὰ τῇ ἑαυτῶν οἰήσει καὶ ἀμελείᾳ ψευδεῖς ποιοῦσι τοὺς τῶν Πατέρων Βίους, ἀδύνατον, λέγοντες, τινὰ ἄνθρωπον τοιαῦτα ὑπομεῖναι, μὴ λογιζόμενοι ὅτι ὅπου ὁ Θεὸς κατοικήσει διὰ τῆς τοῦ Βαπτίσματος Χάριτος καὶ τῆς τῶν ἐντολῶν ἐργασίας, ὑπὲρ φύσιν τὰ πράγματα καὶ τὰ χαρίσματα γίνονται.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπεν· ὑπάρχουν μερικοί, ποὺ σπαταλοῦν τὰς ἡμέρας των εἰς ἀμέλειαν καὶ ἀδιαφορίαν. Αὐτοί, ἐνῷ ζητοῦν νὰ σωθοῦν μὲ τὰ λόγια καὶ τοὺς λογισμούς των, ἐν τούτοις οὐδεμίαν ἔμπρακτον προσπάθειαν καταβάλλουν· οὗτοι μελετοῦν μὲν τοὺς Βίους τῶν Ἁγίων Πατέρων, δὲν μιμοῦνται ὅμως τὴν ταπείνωσίν των, τὴν ἀκτημοσύνην, τὴν ἐγκράτειαν, τὴν ἀγρυπνίαν, τὴν εὐχήν, τὴν γονυκλισίαν, τὴν εἰς τὸ ἔδαφος ἐπίπονον κατάκλισιν, τὴν ἡσυχίαν, ὡς καὶ ὅλας τὰς ἀσκήσεις των.

2. Τοὐναντίον αὐτοὶ μὲ τὴν ὑπερηφάνειάν των καὶ τὴν ἀμέλειάν των διαψεύδουν τοὺς Βίους τῶν Πατέρων καί, δικαιολογούμενοι, λέγουν, ὅτι αὐτὰ εἶναι ἀδύνατον νὰ τὰ ὑπομείνῃ ἕνας ἄνθρωπος. Αὐτοὶ δὲν σκέπτονται, ὅτι ἐκεῖ ποὺ θὰ κατοικήσῃ ὁ Θεός, διὰ τῆς Χάριτος τοῦ Βαπτίσματος καὶ τῆς ἐργασίας τῶν ἐντολῶν, εἶναι δυνατὸν νὰ γίνουν καὶ νὰ πραγματοποιηθοῦν ὑπερφυσικὰ γεγονότα καὶ χαρίσματα.

Δ΄. Τοῦ Ἁγίου Μαξίμου.

Η ΧΑΡΙΣ τῆς Νέας Διαθήκης μυστικῶς τῷ τῆς Παλαιᾶς κέκρυπται γράμματι· διὸ φησὶν ὁ Ἀπόστολος, ὅτι ὁ νόμος πνευματικός ἐστιν· ὁ οὖν νόμος, τῷ μὲν γράμματι παλαιοῦται καὶ γηράσκει καταργούμενος, τῷ δὲ πνεύματι νεάζει διὰ παντὸς ἐνεργούμενος· ἡ γὰρ Χάρις διὰ παντὸς ἀπαλαίωτος.

2. Τὴν Ἁγίαν ὅλην Γραφήν, σαρκὶ διαιρεῖσθαι λέγομεν, καθάπερ τινὰ οὖσαν πνευματικόν· ὁ γὰρ τὸ ῥητὸν τῆς Γραφῆς εἰπὼν εἶναι σάρκα, τὸν δὲ ταύτης νοῦν πνεῦμα, ἤτοι ψυχήν, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται, σοφὸς δὲ προδήλως, ὁ τὸ μὲν φθειρόμενον ἀφείς, ὅλος δὲ τοῦ ἀφθάρτου γενόμενος.

3. Τοῖς σπουδαιοτέροις τῶν θείων Γραφῶν ἐπιμεληταῖς δύο ἔχων ἀναφαίνεται μορφὰς ὁ κατὰ τὸν Κύριον λόγος, τὴν μὲν κοινὴν καὶ δημωδεστέραν, καὶ πολλοῖς θεατήν, καθ' ἣν λέγεται, τό, εἴδομεν Αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, τὴν δὲ κρυφιωτέραν καὶ ὀλίγοις ἐφικτήν, τοῖς ἤδη κατὰ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τοὺς Ἁγίους Ἀποστόλους γεγονόσιν, ἐφ' ὧν ὁ Κύριος μετεμορφώθη, πρὸς δόξαν νικῶσαν τὴν αἴσθησιν, καθ' ἣν ἐστιν ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

4. Τούτων δὲ τῶν δύο μορφῶν, ἡ μὲν προτέρα τοῖς εἰσαγομένοις ἐστὶν ἁρμόδιος, ἡ δὲ δευτέρα τοῖς κατὰ γνῶσιν, ὡς ἐφικτόν, τελειωθῶσιν ἀνάλογος.

5. Καὶ ἡ μὲν τῆς πρώτης παρουσίας τοῦ Κυρίου ἐστὶν εἰκών, ἐφ' ἧς τὸ ῥητὸν τοῦ Εὐαγγελίου θετέον, τῆς διὰ παθημάτων καθαιρούσης τοὺς πρακτικούς.

6. Ἡ δὲ τῆς δευτέρας καὶ ἐνδόξου Παρουσίας ἐστὶ προδιατύπωσις, ἐφ' ἧς τὸ πνεῦμα νοεῖται, τῆς διὰ σοφίας τοὺς γνωστικοὺς μεταμορφούσης πρὸς θέωσιν, ἐκ τῆς ἐν αὐτῇ τοῦ Λόγου Μεταμορφώσεως ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ Κυρίου κατοπτριζομένους.

7. Ὅταν περιφανὴς καὶ λαμπρὸς ἐν ἡμῖν ὁ τοῦ Θεοῦ γένηται Λόγος, καὶ τὸ πρόσωπον αὐτοῦ λάμψει καθάπερ ὁ ἥλιος, τότε καὶ τὰ ἱμάτια αὐτοῦ φαίνεται λευκά, τουτέστι τὰ ῥήματα τῆς Ἁγίας τῶν Εὐαγγελίων Γραφῆς τρανὰ καὶ σαφῆ, καὶ μηδὲν ἔχοντα κεκαλυμμένον, ἀλλὰ καὶ Μωϋσῆς καὶ Ἠλίας μετ' αὐτοῦ παραγίνονται, ἤγουν οἱ τοῦ νόμου καὶ τῶν Προφητῶν πνευματικώτεροι.

Ἑρμηνεία

Η ΧΑΡΙΣ τῆς Καινῆς Διαθήκης εὑρίσκεται κεκρυμμένη, κατὰ τρόπον μυστικόν, εἰς τὰς σελίδας τῆς Παλαιᾶς Διαθήκης. Δι' αὐτὸ καὶ ὁ Ἀπόστολος λέγει, ὅτι ὁ νόμος εἶναι πνευματικός. Ὁ Νόμος λοιπόν (τῆς Παλαιᾶς Διαθήκης καὶ οἱ Προφῆται), καθ' ὅσον μὲν ἀφορᾷ τὴν ἐξωτερικήν γραμματικὴν διατύπωσιν παλαιοῦται καὶ γηράσκει, καταργούμενος (ὑπὸ τῆς Νέας Χάριτος, τῆς Καινῆς Διαθήκης)· καθ' ὅσον ὅμως ἀφορᾷ τὸ πνεῦμα, ἤτοι τὸ ὑπερφυσικὸν στοιχεῖον, παραμένει πάντοτε νέος καί, ὡς ἐκ τούτου, συνεχὴς πηγὴ πνευματικῆς ἐνεργείας. Διότι ἡ Χάρις τοῦ Θεοῦ, ἡ διὰ τοῦ Νόμου ἐκδηλουμένη εἰς τοὺς ἀνθρώπους, ποτὲ δὲν παλαιώνει.

2. Ἔχομεν τὴν γνώμην, ὅτι ὁλόκληρος ἡ Ἁγία Γραφὴ διακρίνεται εἰς σάρκα καὶ εἰς πνεῦμα· αὐτὸς λοιπόν, ποὺ θὰ εἴπῃ, ὅτι αἱ λέξεις τῆς Ἁγίας Γραφῆς εἶναι ἡ σάρκα, τὸ δὲ νόημα τῶν λέξεων αὐτῶν εἶναι τὸ πνεῦμα, ἡ ψυχὴ δηλαδὴ τῆς Ἁγίας Γραφῆς, θὰ ἔχῃ διατυπώσῃ μετὰ βεβαιότητος τὴν ἀλήθειαν. Χωρὶς δὲ οὐδεμίαν ἀντίρρησιν σο-

φὸς εἶναι ἐκεῖνος, ποὺ παραβλέπει τὸ φαινόμενον, δηλαδὴ τὴν λέξιν καὶ τὸ ξηρὸν γράμμα, καὶ στρέφει ὁλόκληρον τὴν προσοχήν του εἰς τὸ ἄφθαρτον στοιχεῖον τῆς Ἁγίας Γραφῆς, δηλαδὴ τὸ πνεῦμα.

3. Εἰς τοὺς σπουδαιοτέρους ἑρμηνευτὰς τῶν θείων Γραφῶν ὁ ἀναφερόμενος εἰς τὸν Κύριον λόγος (=διδασκαλία) τῆς Ἁγίας Γραφῆς ἀποκαλύπτεται νὰ ἔχῃ δύο μορφάς. Ἡ μία εἶναι ἡ κοινή, ἡ δημώδης, καὶ τὴν βλέπουν οἱ πολλοί· κατὰ τὴν μορφὴν αὐτὴν ὁ Κύριος «οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος» (Ἡσ. νγ' 2). Ἡ ἄλλη μορφὴ εἶναι ἡ μυστικωτέρα, ἡ προσιτὴ μόνον εἰς τοὺς ὀλίγους, ποὺ ἠδυνήθησαν νὰ ὑψωθῶσιν εἰς τὸ ἐπίπεδον τῆς χάριτος τῶν Ἁγίων Ἀποστόλων καὶ δὴ τοῦ Πέτρου, τοῦ Ἰακώβου καὶ τοῦ Ἰωάννου, ἐνώπιον τῶν ὁποίων μετεμορφώθη ὁ Κύριος· ἡ ἐξαισία αὐτὴ μορφὴ νικᾷ τὴν δύναμιν τῶν αἰσθήσεων καὶ καταυγάζει τὴν ψυχὴν ἀπὸ τὸ φῶς τῆς δόξης τοῦ Κυρίου. Κατὰ τὴν μορφὴν αὐτὴν ὁ Κύριος ἀποκαλύπτεται «ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων» (Ψαλμ. μδ' 3).

4. Ἐξ αὐτῶν τῶν δύο μορφῶν ἡ μὲν πρώτη προσαρμόζεται πρὸς τὴν ψυχικὴν κατάστασιν τῶν ἀρχαρίων εἰς τὴν πνευματικὴν ζωήν· ἡ δευτέρα πάλιν μορφὴ προσιδιάζει εἰς ὅσους ἐτελειώθησαν κατὰ τὴν μυστικὴν γνῶσιν, ὅσον τὸ δυνατόν, καὶ οὕτως ἐπέτυχον τὴν ἀνωτάτην ἐπιθυμίαν των νὰ ἴδουν τὴν δόξαν τοῦ Κυρίου καὶ νὰ ζῶσιν εἰς αὐτήν.

5. Ἡ πρώτη μορφὴ εἶναι συμβολικὴ εἰκὼν τῆς πρώτης ἐπὶ γῆς παρουσίας τοῦ Κυρίου, ἡ ὁποία διὰ τῶν παθημάτων τοῦ Κυρίου ἐπέτυχε νὰ καθαρίσῃ ἀπὸ πάντα ἐσωτερικὸν ρύπον τὰς ψυχὰς τῶν ἐνασχολουμένων μὲ τὴν πρᾶξιν τῆς ἀσκήσεως καὶ τῆς ἀρετῆς.

6. Ἡ δευτέρα πάλιν μορφὴ εἶναι εἰκὼν καὶ προδιατύπωσις τῆς ἀναμενομένης δευτέρας ἐνδόξου Παρουσίας τοῦ Κυρίου, ἡ ὁποία διὰ τῆς ἄνωθεν σοφίας ὁδηγεῖ τοὺς μυηθέντας εἰς τὴν ὑψηλὴν γνῶσιν πρὸς τὴν θέωσιν, κατὰ τὸν τρόπον καὶ τὸ μέτρον τῆς συμμετοχῆς τῶν Ἁγίων Ἀποστόλων εἰς τὴν Μεταμόρφωσιν, οἱ ὁποῖοι εἶδον εἰς τὸ Θαβώρ, ὡς εἰς κάτοπτρον, μὲ ἀκάλυπτον τὸ πρόσωπον, τὴν δόξαν τοῦ Θεοῦ, ἐν τῷ προσώπῳ τοῦ Μεταμορφωθέντος Λόγου. Ἡ πρώτη μορφὴ συνιστᾷ τὴν ἐξωτερικὴν ἱστορίαν (πλοκὴ γεγονότων καὶ παθημάτων τοῦ Σωτῆρος) καὶ εἶναι ἡ σ ὰ ρ ξ τοῦ Εὐαγγελίου· ἡ δευτέρα συνιστᾷ τὸ π ν ε ῦ μ α τοῦ Εὐαγγελίου.

7. Ὅταν πλέον ὁ Λόγος τοῦ Θεοῦ ἀποκαλυφθῇ λαμπρὸς καὶ ἔνδοξος εἰς τὰς ψυχάς μας καὶ τὸ πρόσωπον Αὐτοῦ λάμψῃ ὡς ὁ Ἥλιος, τότε καὶ τὰ ἱμάτιά του ἀναφαίνονται λευκά· ποῖα δὲ εἶναι τὰ ἱμάτια αὐτά; Αὐταὶ αὗται αἱ λέξεις τῶν ἱερῶν Εὐαγγελίων, τὰς ὁποίας ἀντιλαμβανόμεθα διὰ τοῦ ἐν ἡμῖν θείου φωτισμοῦ, χωρὶς πλέον νὰ ὑπάρχουν εἰς αὐτὰς σκιερὰ ἢ ἀκατάληπτα στοιχεῖα. Εἰς τὴν θείαν αὐτὴν ἀλλοίωσιν τῆς ψυχῆς μας, τὴν ὁμοιάζουσαν μὲ τὴν Μεταμόρφωσιν, καταφθάνουν ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας, δηλαδὴ οἱ πνευματικώτεροι ἄνδρες τοῦ Νόμου καὶ τῶν Προφητῶν.

Ε'. Ἐν τῷ Γεροντικῷ.

ΕΛΕΓΟΝ οἱ Γέροντες, ὅτι ταῦτα ἐστὶν ἃ ζητεῖ ὁ Θεὸς παρὰ Χριστιανοῖς· ἵνα τις ὑποταγῇ ταῖς θείαις Γραφαῖς, καὶ τὰ λεκτέα πρακτέα σπουδάσῃ ἐνδείξασθαι, καὶ πείθηται τοῖς Ἡγουμένοις καὶ τοῖς πνευματικοῖς πατράσιν.

2. Ἠρώτησεν ὁ Ἀββᾶς Ἀμμοῦν ὁ τῆς Ῥαϊθοῦ, τὸν Ἀββᾶν Σισώην λέγων· ὅταν ἀναγινώσκω τὴν Γραφήν, θέλει ὁ λογισμός μου φιλοκαλῆσαι λόγον, ἵνα ἔχω εἰς ἐπερώτημα. Καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων· οὐκ ἔστι χρεία, ἀλλὰ μᾶλλον ἀγώνισαι ἐκ τῆς καθαρότητος τοῦ νοὸς κτήσασθαι σεαυτῷ καὶ τὸ ἀμεριμνεῖν καὶ τὸ λέγειν.

Ἑρμηνεία

ΟΙ ΠΝΕΥΜΑΤΙΚΟΙ Γέροντες ἔλεγον, ὅτι αὐτά, ποὺ ζητεῖ ὁ Θεὸς ἀπὸ τοὺς Χριστιανοὺς εἶναι τὰ ἑξῆς: Νὰ ὑποταχθῇ ὁ Χριστιανὸς εἰς τὰς θείας Γραφάς, διότι δι' αὐτῶν ἐκφράζεται τὸ θέλημα τοῦ Θεοῦ· νὰ φροντίσῃ νὰ μεταβάλῃ εἰς ἔργα αὐτά, ποὺ μελετᾷ εἰς τὰς θείας Γραφάς. Καί, τέλος, νὰ ὑποτάσσεται εἰς τοὺς Ἡγουμένους καὶ πνευματικοὺς Πατέρας.

2. Ὁ Ἀββᾶς Ἀμμοῦν, ποὺ ἠσκήτευεν εἰς Ῥαϊθώ, ἠρώτησε τὸν Ἀββᾶν Σισώην:

—Ὅταν μελετῶ ἕνα ἱερὸν βιβλίον, ὁ λογισμός μου μὲ προτρέπει νὰ συνθέσω ὡραῖον λόγον, διὰ νὰ τὸν ἔχω ὡς ἀπάντησιν, ὅταν μὲ ἐρωτοῦν. Τί νὰ κάμω;

Ὁ Ἀββᾶς Σισώης ἀπήντησεν:

—Δὲν εἶναι ἀνάγκη νὰ ἀσχοληθῇς μὲ αὐτά· ἀπ' ἐναντίας νὰ ἀγωνισθῇς, ὥστε μὲ τὴν καθαρότητα τοῦ νοός σου νὰ ἀποκτήσῃς καὶ τὴν ἀνωτέραν πνευματικὴν γαλήνην καὶ ἠρεμίαν, ἀλλὰ καὶ τὴν ἄνωθεν σοφίαν, διὰ νὰ ὁμιλῇς καὶ νὰ ἀπαντᾷς ψυχωφελῶς.

ϛ'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΑΔΕΛΦΕ, γνωστικὸν σεαυτὸν ἀποκαλεῖς; ἐκ τῶν ἔργων σου ἐπίγνωθι σαυτόν· ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ γνῶσις χωρὶς ἐργασίας νεκρά ἐστι. Καὶ πλάνη μὲν ἀνδρί, τὸ μὴ εἰδέναι τὰς Γραφάς, δισσῶς δὲ πλανᾶται, ἐπιστάμενος καὶ καταφρονῶν.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, ὀνομάζεις τὸν ἑαυτόν σου γνωστικὸν (μορφωμένον πνευματικῶς); Ἀπὸ τὰ ἔργα σου θὰ ἀντιληφθῇς τὴν πραγματικότητα αὐτοῦ τοῦ χαρακτηρισμοῦ· διότι ὅπως ἀκριβῶς τὸ σῶμα εἶναι νεκρόν, χωρὶς τὸ πνεῦμα, τοιουτοτρόπως καὶ ἡ ξηρὰ γνῶσις,

χωρὶς τὰ ἀνάλογα πνευματικὰ ἔργα, εἶναι νεκρὰ καὶ ἀνωφελής. Ἐὰν δὲ εἶναι πλάνη δι' ἕνα Χριστιανὸν νὰ μὴ γνωρίζῃ τὴν Γραφήν, εἶναι διπλῆ πλάνη, ὅταν γνωρίζῃ μὲν τὴν Γραφήν, πλὴν ὅμως τὴν καταφρονεῖ, μὴ ἐφαρμόζων τὰ διδάγματα αὐτῆς εἰς τὴν ζωήν του.

Ζ'. Τοῦ Ἁγίου Ἰσαάκ.

ΤΟΙΣ λόγοις τῶν μυστηρίων, τῶν ἐν τῇ θείᾳ Γραφῇ μὴ προσεγγίσῃς, χωρὶς εὐχῆς καὶ αἰτήσεως τῆς παρὰ Θεοῦ βοηθείας, ἀλλ' εὐχόμενος λέγε, Κύριε, δός μοι λαβεῖν αἴσθησιν τῆς δυνάμεως τῆς ἐν αὐτοῖς. Τὴν γὰρ εὐχὴν λογίζου εἶναι κλεῖδα τῶν νοημάτων τῶν ἀληθινῶν τῶν ἐν ταῖς θείαις ἠσφαλισμένων Γραφαῖς.

Ἑρμηνεία

ΝΑ ΜΗ ἐπιχειρῇς νὰ κατανοήσῃς τὴν διδασκαλίαν τῶν μυστηρίων καὶ τῶν δογμάτων τῆς Ἁγίας Γραφῆς δι' ἁπλῆς ἀναγνώσεως, χωρὶς προηγουμένως νὰ προσεύχεσαι καὶ νὰ ἐπιζητῇς τὴν βοήθειαν τοῦ Θεοῦ λέγων· «Κύριέ μου, χάρισέ μου τὴν ἱκανότητα νὰ ἀντιληφθῶ τὴν πνευματικὴν δύναμιν, ποὺ ἐμπεριέχεται εἰς αὐτά». Νὰ ἔχῃς ὑπ' ὄψιν σου πάντοτε, ὅτι ἡ εὐχή, πρὸ τῆς ἀναγνώσεως, εἶναι τὸ κλειδὶ τῶν ἀληθινῶν νοημάτων, ποὺ εὑρίσκονται ἀσφαλισμένα ὑπὸ τὸ γράμμα τῶν θείων Γραφῶν.





·:ὙΠΌΘΕϹΙϹ ΙΖʹ:·

Ὅτι οὐ δεῖ ἐξ ὑπερηφανίας πολυπραγμονεῖν τὰ ὑψηλὰ τῆς Γραφῆς, καὶ τὰ δογματικὰ καὶ ἀπόκρυφα ἢ τὰ τοῦ Θεοῦ περιεργάζεσθαι κρίματα.

Δὲν πρέπει κινούμενοι ἀπὸ ὑπερηφάνειαν νὰ πολυπραγμονῶμεν περὶ τὰ ὑψηλὰ νοήματα τῆς Γραφῆς καὶ περὶ τὰ δογματικὰ καὶ ὑπέρτερα τῆς λογικῆς ἢ νὰ προσπαθῶμεν νὰ ἐννοήσωμεν τὰ κρίματα τοῦ Θεοῦ.



Αʹ. Ἐν τῷ Γεροντικῷ.



ΗΛΘΟΝ ποτε πρὸς τὸν Ἀββᾶν Ζήνωνα ἀδελφοί, καὶ ἠρώτησαν αὐτὸν εἰπόντες· τί ἐστι τὸ ἐν Ἰὼβ γεγραμμένον· «οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον Αὐτοῦ»;


2. Καὶ ἀπεκρίθη ὁ Γέρων· ἀφῆκαν οἱ ἄνθρωποι τὰς ἁμαρτίας αὐτῶν, καὶ περὶ τῶν οὐρανίων ἐρευνῶσιν, αὕτη δέ ἐστιν ἡ ἑρμηνεία τοῦ λόγου· ἐπειδὴ ὁ Θεὸς μόνος ἐστὶ καθαρός, διὰ τοῦτο εἶπεν ἡ Γραφή, οὐρανὸς δὲ οὐ καθαρὸς ἐνώπιον αὐτοῦ.

3. Ἀδελφός τις ἐξ Αἰγύπτου διά τινα χρείαν ἀπῆλθεν ἐπὶ ξένης, καὶ κατέλυσε πρός τινα Ἀναχωρητὴν ἔχοντα ἀγάπην καὶ δεχόμενον πολλούς. Καὶ ἀνήγγειλεν ὁ ἀδελφὸς τῷ Ἀναχωρητῇ περὶ τοῦ Ἀββᾶ Ποιμένος· ὁ δὲ ἀκούσας, ἐπεθύμησε τοῦτον ἰδεῖν.

4. Καὶ μετὰ τὸ ὑποστρέψαι τὸν ἀδελφόν, ἦλθε κἀκεῖνος μετ' ὀλίγον εἰς Αἴγυπτον πρὸς τὸν ἀδελφὸν ἐκεῖνον· ὁ δὲ ἀπήγαγεν αὐτὸν πρὸς τὸν Ἀββᾶν Ποιμένα. Καὶ πρῶτον εἰσελθὼν ὁ ἀδελφὸς ἀνήγγειλεν αὐτῷ περὶ τοῦ Ἀναχωρητοῦ, εἰπών, ὅτι μέγας ἄνθρωπός ἐστι, καὶ πολλὴν ἀγάπην καὶ τιμὴν ἔχει εἰς τὴν χώραν αὐτοῦ· ἐδέξατο οὖν αὐτὸν ὁ Ἀββᾶς Ποιμὴν μετὰ χαρᾶς, καὶ ἀσπασάμενοι ἀλλήλους ἐκάθισαν.

5. Ἤρξατο οὖν λαλεῖν ὁ Ἀναχωρητὴς ἀπὸ τῆς Γραφῆς περὶ πνευματικῶν καὶ οὐρανίων, ὁ δὲ Γέρων ἔστρεφε τὸ πρόσωπον αὐτοῦ, καὶ οὐκ ἀπεκρίθη αὐτῷ. Ὁ δὲ ἱκανὴν ὥραν προσκαθεσθεὶς καὶ ἰδὼν ὅτι οὐ λαλεῖ μετ' αὐτοῦ, λυπηθεὶς ἐξῆλθε, καὶ λέγει τῷ ἀδελφῷ, τῷ ἐνεγκόντι αὐτόν· εἰς μάτην ἐποίησα ὅλην τὴν ἀποδημίαν ταύτην, ἦλθον γὰρ πρὸς τὸν Γέροντα καὶ ἰδοὺ οὐ θέλει λαλῆσαι μετ' ἐμοῦ.

6. Εἰσῆλθε δὲ ὁ ἀδελφὸς πρὸς τὸν Ἀββᾶν Ποιμένα καὶ λέγει αὐτῷ· Ἀββᾶ, εἰπόν σοι ὅτι διὰ σὲ ἦλθεν ὁ ἄνθρωπος οὗτος ὁ μέγας, καὶ διατί οὐκ ἐλάλησας μετ' αὐτοῦ; Καὶ ἀπεκρίθη ὁ Γέρων· αὐτὸς ἐκ τῶν ἀνθρώπων ἐστί, καὶ οὐράνια λαλεῖ, ἐγὼ δὲ ἐκ τῶν κάτω εἰμί, καὶ ἐπίγεια λαλῶ· εἰ οὖν ἐλάλησέ μοι περὶ παθῶν ψυχῆς, ἐγὼ ἂν ἀπεκρινάμην αὐτῷ, εἰ δὲ περὶ πνευματικῶν, ἐγὼ ταῦτα οὐκ ἐπίσταμαι.


Ὁ ὍCΙ
OC
ἈΒΒΑ
C
ΖΗ
ΝΩ
Ν
ἈΦΗΚΑΝ
ΟἹ ἌΝΘΡΩ
ΠΟΙ ΤΑC
ἉΜΑΡ
ΤΙΑC
ΑΥ̓ΤΩΝ
ΚΑΙ ΠΕ
ΡΙ ΤΩΝ
ΟΥ̓ΡΑΝΙ
ΩΝ ἘΡ
ΕΥΝΩCΙΝ

7. Ἐξελθὼν οὖν ὁ ἀδελφὸς εἶπε τῷ Ἀναχωρητῇ· ὁ Γέρων οὐ ταχέως ἀπὸ Γραφῆς λέγει, ἀλλ' ἐάν τις περὶ παθῶν ψυχῆς αὐτὸν ἐρωτᾷ, ἀποκρίνεται αὐτῷ· ὁ δὲ κατανυγείς, εἰσῆλθε πάλιν πρὸς τὸν Γέροντα καὶ λέγει αὐτῷ· τί ποιήσω, Ἀββᾶ, ὅτι κυριεύουσί μου τὰ πάθη τῆς ψυχῆς;

8. Τότε ὁ Γέρων προσέσχεν αὐτῷ καὶ εἶπε· νῦν καλῶς ἦλθες, νῦν ἄνοιξόν σου τὸ στόμα περὶ τούτων καὶ πληρώσω ἀγαθῶν· καὶ ὡμίλησαν ἱκανῶς. Ὁ δὲ Ἀναχωρητής, πολλὰ ὠφεληθείς, εἶπεν· ὄντως αὕτη ἐστὶν ἡ ἀληθινὴ ὁδός, καὶ εὐχαριστῶ τῷ Θεῷ ὅτι τοιούτῳ Ἁγίῳ συντυχεῖν ἠξιώθην· καὶ ὑπέστρεψεν εἰς τὴν ἰδίαν χώραν.

9. Εἶπε Γέρων· ἐὰν ῥῆμα τῆς Γραφῆς ἀνέλθῃ ἐπὶ καρδίαν ἀδελφοῦ, καθημένου ἐν τῷ κελλίῳ, καὶ ἐπιδράμῃ τῷ ῥήματι μήπω φθάσας εἰς μέτρον μέγα, μηδὲ ὑπὸ Θεοῦ ἑλκόμενος, δεικνύουσιν αὐτῷ οἱ δαίμονες τὸ ῥητὸν ὡς βούλονται, ἵνα ἢ εἰς αἵρεσιν ἢ εἰς οἴησιν αὐτὸν ἐμβάλωσιν.

10. Ἠρώτησέ τις τὸν Ἀββᾶν Σωσίπατρον λέγων· δός μοι ἐντολήν, Ἀββᾶ, καὶ φυλάξω αὐτήν. Ὁ δὲ εἶπεν αὐτῷ· μὴ εἰσέλθῃ γυνὴ εἰς τὸ κελλίον σου, καὶ μὴ ἀναγνῷς ἀπόκρυφα.

11. Ὁ Ἀββᾶς Ἀντώνιος, ἀτενίσας πρὸς τὸ βάθος τῶν τοῦ Θεοῦ κριμάτων, ᾔτησε λέγων· Κύριε, πῶς τινες μὲν ὀλιγόβιοι ἀποθνήσκουσι, τινὲς δὲ ὑπεργηρῶσι; καὶ διατί τινὲς μὲν πένονται, ἄλλοι δὲ πλουτοῦσι; καὶ πῶς ἄδικοι μὲν πλουτοῦσι, δίκαιοι δὲ πένονται;

12. Ἦλθε δὲ αὐτῷ φωνὴ λέγουσα· Ἀντώνιε, σεαυτῷ πρόσεχε, ταῦτα δὲ κρίματα τοῦ Θεοῦ εἰσι καὶ οὐ συμφέρει σοι αὐτὰ μανθάνειν.

13. Παρέβαλόν ποτε Γέροντες τῷ Ἀββᾷ Ἀντωνίῳ, ἦν δὲ ὁ Ἀββᾶς Ἰωσὴφ μετ' αὐτῶν· θέλων δὲ ὁ Γέρων δοκιμάσαι αὐτούς, παρεβάλλετο ῥῆμα ἐκ τῆς Γραφῆς, καὶ ἤρξατο ἀπὸ τῶν μικροτέρων ἐρωτᾶν τί ἐστι τὸ ῥῆμα τοῦτο, καὶ ἕκαστος ἔλεγε κατὰ τὴν ἰδίαν δύναμιν, ὁ δὲ Γέρων ἀπεκρίνατο πρὸς ἕκαστον, οὔπω εὗρες.

14. Ὕστερον δὲ πάντων λέγει καὶ τῷ Ἀββᾷ Ἰωσήφ· σὺ πῶς λέγεις εἶναι τὸν λόγον τοῦτον; Καὶ ἀπεκρίθη· ἐγὼ οὐκ οἶδα. Λέγει ὁ Ἀββᾶς Ἀντώνιος· ὄντως ὁ Ἀββᾶς Ἰωσὴφ εὗρε τὴν ὁδόν, ὅτι εἶπεν οὐκ οἶδα.

15. Διηγήσατο ὁ Ἀββᾶς Δανιὴλ περὶ τοῦ Ἀββᾶ Ἀρσενίου, ὅτι οὐδέποτε ἤθελε λαλῆσαι τίποτε ζήτημα γραφικόν, καίπερ δυνάμενος λαλῆσαι, εἰ ἤθελεν· ἀλλ' οὐδὲ ἐπιστολὴν ταχέως ἔγραφεν. Ὅτε δὲ ἤρχετο εἰς τὴν Ἐκκλησίαν διὰ χρόνου, ὀπίσω τοῦ στύλου ἐκαθέζετο, ἵνα μηδεὶς ἴδῃ τὸ πρόσωπον αὐτοῦ ἢ αὐτὸς πρόσχῃ τινί.

16. Συνήχθησάν ποτε οἱ Πατέρες τῆς Σκήτεως περὶ τοῦ Μελχισεδέκ, καὶ ἐπελάθοντο καλέσαι καὶ τὸν Ἀββᾶν Κόπριν· ὕστερον δὲ καλέσαντες αὐτόν, ἠρώτων περὶ τούτου.

17. Ὁ δὲ τύψας τὸ στόμα αὐτοῦ ἐπὶ τρεῖς, εἶπεν· οὐαί σοι, Κόπρι, οὐαί σοι, Κόπρι, ὅτι ἃ ἐνετείλατό σοι ὁ Θεὸς ἐγκατέλιπες, καὶ ἃ οὐ ζητεῖ παρὰ σοῦ ἐρευνᾷς. Καὶ ἀκούσαντες οἱ ἀδελφοὶ ταῦτα ἔφυγον εἰς τὰ κελλία αὐτῶν.

18· Ἀδελφός τις ἦλθε πρὸς τὸν Ἀββᾶν Θεόδωρον τὸν τῆς Φέρμης, καὶ ἤρξατο λαλεῖν καὶ ἐξετάζειν πράγματα, ὧν οὔπω τὴν ἐργασίαν ἐποίει. Καὶ λέγει αὐτῷ ὁ Γέρων· οὔπω εὗρες τὸ πλοῖον, οὐδὲ τὰ σκεύη ἔλαβες, καὶ πρὸ τοῦ πλεῦσαι, ἤδη εἰς τὴν πόλιν ἐκείνην ἀπῆλθες; πρῶτον ποίησον τὸ ἔργον καὶ τότε ἔρχῃ εἰς ἃ νῦν λαλεῖς.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἐπεσκέφθησαν τὸν Ἀββᾶν Ζήνωνα μερικοὶ ἀδελφοὶ καὶ τοῦ ὑπέβαλαν τὴν ἑξῆς ἐρώτησιν:

—Τί σημαίνει, Ἀββᾶ, αὐτὸ ποὺ γράφεται εἰς τὸ βιβλίον τοῦ Ἰώβ· «οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον Αὐτοῦ»; (Ἰὼβ ιε' 15).

2. Ὁ Γέρων ἀπήντησεν:

—Οἱ ἄνθρωποι ἔπαυσαν νὰ φροντίζουν διὰ τὴν ἀπαλλαγὴν ἀπὸ τὰς ἁμαρτίας των καὶ ἀσχολοῦνται μὲ τὴν ἔρευναν τῶν οὐρανῶν. Ἡ ἑρμηνεία τοῦ ρητοῦ, ποὺ ἐζητήσατε, εἶναι: «μόνον ὁ Θεὸς εἶναι καθαρός». Δι' αὐτὸ εἶπεν ἡ Γραφή, ὅτι ὁ οὐρανὸς δὲν εἶναι καθαρὸς ἐνώπιον τοῦ Θεοῦ.

3. Ἕνας ἀδελφὸς ἀπὸ τὴν Αἴγυπτον ἐπῆγεν εἰς ξένον μέρος διὰ μίαν ὑπόθεσίν του. Εἰς τὸ ξένον αὐτὸ μέρος παρέμεινε φιλοξενούμενος ἑνὸς Ἀναχωρητοῦ, ποὺ διεκρίνετο διὰ τὴν ἀγάπην του καὶ ἐφιλοξένει πολλούς. Κατὰ τὴν συζήτησιν ὁ ἀδελφὸς ὡμίλησεν εἰς τὸν Ἀναχωρητὴν περὶ τοῦ Ἀββᾶ Ποιμένος. Ὅταν ἤκουσεν αὐτὰ ὁ Ἀναχωρητὴς ἐπεθύμησε νὰ γνωρίσῃ τὸν Ἀββᾶν Ποιμένα.

4. Ἀφοῦ ἐπέστρεψεν ὁ ἀδελφὸς εἰς τὴν χώραν του, ὕστερα ἀπὸ ὀλίγον καιρὸν ἦλθε καὶ ὁ Ἀναχωρητὴς εἰς τὴν Αἴγυπτον, πρὸς τὸν ἀδελφὸν ἐκεῖνον. Ὁ ἀδελφὸς τὸν ἐφιλοξένησε καὶ τὸν ὡδήγησε πρὸς τὸν Ἀββᾶν Ποιμένα. Ἀφοῦ εἰσῆλθε πρῶτος εἰς τὸ κελλὶ τοῦ Ἀββᾶ Ποιμένος, τοῦ ἀνέφερε περὶ τοῦ Ἀναχωρητοῦ, ὅτι εἶναι σπουδαῖος ἄνθρωπος, ὅτι τὸν ἀγαποῦν καὶ τὸν τιμοῦν εἰς τὴν χώραν του καὶ τὰ τοιαῦτα. Κατόπιν τῶν συστάσεων αὐτῶν ὁ Ἀββᾶς Ποιμὴν ἐδέχθη μὲ χαρὰν τὸν Ἀναχωρητὴν καὶ ἀφοῦ ἀντήλλαξαν τὸν ἀδελφικὸν ἀσπασμὸν ἐκάθισαν.

5. Ἐν συνεχείᾳ ὁ Ἀναχωρητὴς ἤρχισε νὰ ὁμιλῇ, ἐκ τῆς Ἁγίας Γραφῆς, περὶ πνευματικῶν καὶ οὐρανίων ζητημάτων. Ἐνῷ ὡμίλει ὁ Ἀναχωρητής, ὁ Γέρων ἔστρεφεν ἀλλοῦ τὸ πρόσωπόν του καὶ δὲν τοῦ ἔδιδεν οὐδεμίαν ἀπάντησιν. Ὁ Ἀναχωρητής, ἀφοῦ παρέμεινεν ἐπ' ἀρκετὸν διάστημα, χωρὶς νὰ τοῦ εἴπῃ οὔτε μίαν λέξιν ὁ Γέρων, ἐλυπήθη καὶ ἐβγῆκεν ἀπὸ τὸ κελλίον καὶ λέγει εἰς τὸν ἀδελφόν, ὁ ὁποῖος τὸν ὡδήγησεν ἕως ἐκεῖ:

—Ματαίως ἔκαμα ὅλο αὐτὸ τὸ ταξίδι, διότι ἦλθα πρὸς τὸν Γέροντα καὶ δὲν θέλει νὰ συζητήσῃ μαζί μου.

6. Λυπημένος ὁ ἀδελφὸς εἰσῆλθε πάλιν εἰς τὸ κελλίον καὶ λέγει πρὸς τὸν Ἀββᾶν Ποιμένα:

—Ἀββᾶ, σοῦ ἐτόνισα, ὅτι πρὸς χάριν σου ἦλθεν αὐτὸς ὁ σπουδαῖος ἄνθρωπος· διατί λοιπὸν δὲν συνωμίλησες μαζί του;

—Τέκνον μου—ἀπήντησεν ὁ Γέρων— ὁ Ἀναχωρητὴς εἶναι ἐκ τῶν σπουδαίων ἀνθρώπων καὶ ὁμιλεῖ περὶ οὐρανίων πραγμάτων· ἐγὼ ὅμως εἶμαι ἀπὸ χαμηλὰ καὶ ὡς ἐκ τούτου ὁμιλῶ δι' ἐπίγεια πράγματα.

Ἐὰν λοιπὸν μοῦ ὡμίλει περὶ παθῶν ψυχῆς, ἐγὼ θὰ ἠμποροῦσα νὰ τοῦ ἀπαντήσω. Τὰ πνευματικὰ ὅμως, περὶ τῶν ὁποίων μοῦ ὡμίλησε, ἐγώ, ὡς ὑψηλά, δὲν τὰ γνωρίζω.

7. Μετὰ τὴν ἐξήγησιν αὐτὴν ἐξῆλθεν ὁ ἀδελφὸς καὶ λέγει εἰς τὸν Ἀναχωρητήν:

—Ὁ Γέρων δὲν συζητεῖ εὐκόλως διὰ ζητήματα τῆς Γραφῆς· ὅταν ὅμως τὸν ἐρωτοῦν περὶ παθῶν τῆς ψυχῆς, τότε προθύμως ἀπαντᾷ.

Κατόπιν τῆς πληροφορίας αὐτῆς τοῦ ἀδελφοῦ κατενύγη ὁ Ἀναχωρητής, καὶ εἰσῆλθεν ἐκ δευτέρου εἰς τὸ κελλὶ τοῦ Γέροντος, ἐρωτῶν αὐτὸν μὲ ταπείνωσιν:

—Τί νὰ κάμω, Ἀββᾶ, διότι μὲ κυριεύουν τὰ πάθη τῆς ψυχῆς;

8. Ὁ Γέρων μὲ ἐνθουσιασμὸν λέγει:

—Τώρα ἦλθες, ὅπως πρέπει· ὁμίλησέ μου δι' αὐτὰ καὶ θὰ σὲ πλουτίσω μὲ πνευματικὰ ἀγαθὰ (δηλαδὴ μὲ ψυχωφελεῖς ἀπαντήσεις).

Πράγματι λοιπὸν ἤρχισε μεταξὺ τῶν δύο μία μακρὰ καὶ ὠφέλιμος συζήτησις περὶ τῶν παθῶν τῆς ψυχῆς καὶ τῆς ἀντιμετωπίσεώς των. Κατὰ τὸ τέλος τῆς συζητήσεως αὐτῆς κατευχαριστημένος ὁ Ἀναχωρητὴς καὶ ὠφελημένος ἐξ αὐτῆς εἶπε:

—Πράγματι αὐτὴ εἶναι ἡ ἀληθινὴ ὁδὸς καὶ εὐχαριστῶ τὸν Θεόν, διότι ἠξιώθην νὰ συναντήσω ἕνα τοιοῦτον Ἅγιον. Οὕτω δὲ ἱκανοποιημένος ἐπέστρεψεν εἰς τὴν πατρίδα του.

† 9. Ἕνας Γέρων εἶπεν: Ἐὰν ἕνας ἀδελφός, τὴν στιγμὴν ποὺ κάθεται εἰς τὸ κελλίον του, ἐνθυμηθῇ ἕνα ρητὸν τῆς Ἁγίας Γραφῆς καὶ προσπαθήσῃ μόνος του νὰ τὸ ἑρμηνεύσῃ, περιστρέφων αὐτὸ εἰς τὴν σκέψιν του, χωρὶς νὰ ἔχῃ φθάσει εἰς μέτρον τελειότητος, ἢ νὰ τὸν ἔχῃ τραβήξει ἡ ἀγάπη τοῦ Θεοῦ, διατρέχει μέγιστον κίνδυνον· οἱ δαίμονες παρουσιάζουν τὸ ρητόν, ὅπως αὐτοὶ θέλουν, καὶ ρίπτουν οὕτω τὸν τοιοῦτον ἢ εἰς αἵρεσιν ἢ ὑπέρμετρον ὑπερηφάνειαν.

10. Παρεκάλεσε κάποιος τὸν Ἀββᾶν Σωσίπατρον:

—Ἀββᾶ μου, δῶσε μου μίαν ἐντολήν, διὰ νὰ τὴν ἐφαρμόσω εἰς τὴν μοναχικήν μου ζωήν.

Καὶ ὁ Ἀββᾶς Σωσίπατρος ἀπήντησε:

—Νὰ προσέξῃς νὰ μὴ εἰσέλθῃ γυναίκα εἰς τὸ κελλί σου καὶ νὰ μὴ διαβάσῃς ποτὲ Ἀπόκρυφα βιβλία.

11. Ὁ Ἀββᾶς Ἀντώνιος, ἀναλογισθεὶς μετὰ δέους τὸ βάθος τῶν κριμάτων τοῦ Θεοῦ, παρεκάλεσε τὸν Θεὸν νὰ τοῦ ἐξηγήσῃ μερικὰς ἀπορίας.

—Κύριε—ἔλεγε—διατὶ μερικοὶ ἀποθνήσκουν εἰς μικρὰν ἡλικίαν, ἐνῷ ἄλλοι εἰς βαθύτατον γῆρας; Διατί ἄλλοι εἶναι πτωχοὶ καὶ ἄλ-

λοι πλούσιοι; Διατί οἱ μὲν ἄδικοι πλουτοῦν καὶ εὐτυχοῦν, ἐνῷ οἱ δίκαιοι πεινοῦν καὶ ὑποφέρουν;

12. Ἦλθε λοιπὸν πρὸς αὐτὸν φωνὴ λέγουσα:

—Ἀντώνιε, πρόσεχε τὸν ἑαυτόν σου, διότι αὐτὰ εἶναι ἀνεξερεύνητοι κρίσεις τοῦ Θεοῦ καὶ δὲν εἶναι ψυχικόν σου συμφέρον ἡ ἐνασχόλησις μὲ αὐτά.

13. Μερικοὶ Γέροντες Ἀσκηταὶ ἐπεσκέφθησαν κάποτε τὸν Ἀββᾶν Ἀντώνιον· μαζί των ἦτο καὶ ὁ Ἀββᾶς Ἰωσήφ. Θέλων ὁ Ἀββᾶς Ἀντώνιος νὰ τοὺς δοκιμάσῃ, τοὺς εἶπε μίαν φράσιν ἐκ τῆς Ἁγίας Γραφῆς καὶ ἤρχισε νὰ τοὺς ἐρωτᾷ, ἀπὸ τοὺς νεωτέρους πρὸς τοὺς μεγαλυτέρους, ποία εἶναι ἡ σημασία τῆς φράσεως. Ἕκαστος λοιπὸν ἀπαντοῦσε διαφορετικά, ἀναλόγως τῆς πνευματικῆς του ἱκανότητος. Εἰς ὅλους ὁ Γέρων ἀπαντοῦσε· «δὲν εὗρες τὴν σημασίαν του ἀκόμη».

14. Τελευταῖον ἐξ ὅλων ἀπευθύνεται πρὸς τὸν Ἀββᾶν Ἰωσήφ:

—Σύ, πῶς ἑρμηνεύεις τὴν φράσιν αὐτήν, Ἀββᾶ;

Ὁ Ἀββᾶς Ἰωσὴφ ἀπήντησεν:

—Ἐγὼ δὲν γνωρίζω.

Καὶ τότε, μὲ ἐνθουσιασμόν, προσέθεσεν ὁ Ἀββᾶς Ἀντώνιος:

—Πράγματι ὁ Ἀββᾶς Ἰωσὴφ ἀνεκάλυψε τὴν ὁδὸν τῆς τελειότητος, διότι εἶπε «δὲν γνωρίζω».

15. Ὁ Ἀββᾶς Δανιὴλ διηγήθη περὶ τοῦ Ἀββᾶ Ἀρσενίου ὅτι ἀπέφευγε πάντοτε νὰ ὁμιλῇ περὶ ζητημάτων τῆς Ἁγίας Γραφῆς, ἂν καὶ εἶχε τὴν δύναμιν, ἐὰν ἤθελεν, οὔτε καὶ εὐκόλως ἔγραφεν ἐπιστολήν (εἰς ὅσους ἐζήτουν τὴν ἐπίλυσιν ἀποριῶν). Ὅταν δὲ ἤρχετο, κατ' ἀραιὰ διαστήματα, εἰς τὸ Καθολικὸν τῆς Σκήτης, παρέμενε κρυμμένος, πίσω ἀπὸ μίαν κολώναν, διὰ νὰ μὴ τὸν ἴδῃ κανεὶς καὶ τὸν προσέξῃ ἐκ σεβασμοῦ, ἢ καὶ αὐτὸς προσέξῃ κανένα ἀποσπώμενος ἀπὸ τὴν ἱερότητα τῆς ἀκολουθίας.

16. Κάποτε συνεκεντρώθησαν οἱ Πατέρες τῆς Σκήτης, διὰ νὰ ἀσχοληθοῦν περὶ τὴν μελέτην τοῦ Μελχισεδέκ, περὶ τοῦ ὁποίου ἀναφέρει, ὡς γνωστόν, ἡ Ἁγία Γραφή (Γεν. ιδ' 18—20, Ψαλμ. ρθ' 4, Ἑβρ. ζ' 1—20). Ἐλησμόνησαν ὅμως νὰ καλέσουν καὶ τὸν Ἀββᾶν Κόπριν. Ὕστερον τὸν ἐκάλεσαν, ὅταν δὲ προσῆλθε τὸν ἠρώτησαν σχετικῶς.

17. Εἰς ἀπάντησιν ὁ Ἀββᾶς Κόπρις ἐκτύπησε τρεῖς φορὰς τὸ στόμα του, καὶ εἶπεν· «ἀλλοίμονόν σου, Κόπρι, ἀλλοίμονόν σου Κόπρι, διότι ἄφησες αὐτά, ποὺ σὲ διέταξεν ὁ Θεός, καὶ ἐρευνᾷς αὐτά, ποὺ δὲν σοῦ ζητεῖ». Μόλις τὸν ἤκουσαν οἱ ἄλλοι Πατέρες, ἀντελήφθησαν τὴν σημασίαν των καὶ ἔφυγον διὰ τὰ κελλία των.

18. Κάποτε ἕνας ἀδελφὸς ἐπεσκέφθη τὸν Ἀββᾶν Θεόδωρον, ποὺ

ἠσκήτευεν εἰς τὴν Φέρμην. Ἀμέσως δὲ ἤρχισε νὰ ὁμιλῇ καὶ νὰ ἐρευνᾷ ζητήματα, τὰ ὁποῖα οὐδέποτε, μέχρι τῆς στιγμῆς ἐκείνης, ἐφήρμοσεν εἰς τὴν ζωήν του. Τότε ὁ Γέρων τοῦ λέγει:

—Σύ, τέκνον μου, δὲν εὑρῆκες ἀκόμη τὸ πλοῖον οὔτε ἔχεις ἑτοιμάσει τὰς ἀποσκευάς σου· πρὶν λοιπὸν ἀκόμη ταξιδεύσῃς, πῶς ὁμιλεῖς, ὡς νὰ εὑρίσκεσαι εἰς τὴν πόλιν, διὰ τὴν ὁποίαν προορίζεσαι; Κάμε πρῶτα τὸ ἔργον σου, ὡς Μοναχοῦ, καὶ τότε ἔρχεσαι εἰς αὐτά, ποὺ τώρα συζητεῖς.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου.

Τὸ ἀγαπῆσαι τὸ περιεργάζεσθαι τὴν Γραφήν, τίκτει τὴν ἔχθραν καὶ τὴν ἔριν· τὸ δὲ κλαίειν περὶ τῶν ἁμαρτιῶν, φέρει τὴν εἰρήνην.

2. Ἁμαρτία γάρ ἐστι Μοναχῷ καθημένῳ ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ καταλιμπάνοντι τὰς ἑαυτοῦ ἁμαρτίας, καὶ περιεργαζομένῳ τὴν Γραφήν.

3. Ὅστις παρέχει τὴν καρδίαν ἑαυτοῦ, ὅτι πῶς εἶπεν ἡ Γραφὴ οὕτως ἢ οὕτως, πρὶν ἑαυτὸν κτήσηται, ὁ τοιοῦτος καρδίαν περίεργον ἔχει καὶ αἰχμαλωσίαν σφοδράν.

4. Ὅστις γρηγορεῖ περὶ τοῦ μὴ αἰχμαλωτισθῆναι, ἀγαπᾷ τὸ παραῤῥίπτειν ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ ἀεί.

5. Μὴ ζητήσῃς τὰ ὑψηλὰ τοῦ Θεοῦ, ἐν ὅσῳ εὔχῃ Αὐτῷ περὶ βοηθείας, ἵνα ἔλθῃ σοι καὶ σώσῃ σε ἀπὸ τῆς ἁμαρτίας· τὰ γὰρ τοῦ Θεοῦ ἀφ' ἑαυτῶν ἔρχονται, ἐὰν ὁ τόπος ἀκίβδηλος καὶ ἁγνὸς γένηται.

6. Ὅστις στηρίζει ἑαυτὸν ἐπὶ τῇ ἰδίᾳ γνώσει, καὶ κατέχει τὸ θέλημα αὐτοῦ, κτᾶται τὴν ἔχθραν, καὶ ἐκτὸς τοῦ πνεύματος, τοῦ φέροντος τὴν λύπην τῇ καρδίᾳ, οὐ δύναται εἶναι.

7. Ὅστις ὁρᾷ τοὺς λόγους τῆς Γραφῆς, καὶ ποιεῖ αὐτοὺς κατὰ τὴν ἰδίαν γνῶσιν, καὶ ἐπιστηρίζει ἑαυτὸν ἐπ' αὐτῆς, ὅτι οὕτως ἐστίν, ὁ τοιοῦτος ἀγνοεῖ τὴν δόξαν τοῦ Θεοῦ καὶ τὸν πλοῦτον Αὐτοῦ.

8. Ὁ δὲ βλέπων καὶ λέγων· οὐκ οἶδα, ἄνθρωπός εἰμι, τὴν δόξαν τῷ Θεῷ παρέχει, καὶ εἰς τὸν τοιοῦτον ὁ πλοῦτος τοῦ Θεοῦ κατοικεῖ, κατὰ τὴν δύναμιν αὐτοῦ καὶ τὸν λογισμόν.

Ἑρμηνεία

Η ΕΠΙΘΥΜΙΑ διὰ τὴν φιλοπερίεργον ἔρευναν τῆς Ἁγίας Γραφῆς γεννᾷ τὴν ἔχθραν καὶ τὴν φιλονικίαν μεταξὺ τῶν παρερμηνευόντων αὐτήν· τὸ νὰ κλαίῃ ὅμως κανεὶς διὰ τὰς ἁμαρτίας του φέρει τὴν εἰρήνην.

2. Εἶναι ἁμαρτία νὰ κάθεται ὁ Μοναχὸς εἰς τὸ κελλίον του, νὰ παραμένῃ ἀμετανόητος διὰ τὰς ἁμαρτίας του καὶ νὰ ἐνασχολῆται μόνον μὲ τὴν φιλοπερίεργον ἔρευναν τῆς Ἁγίας Γραφῆς.

3. Ὅποιος ἀφήνει ἐλευθέραν τὴν καρδίαν του εἰς τὴν διερεύνησιν καὶ ἑρμηνείαν τῶν διαφόρων χωρίων τῆς Γραφῆς, διερωτώμενος τί σημαίνει τὸ ἕνα ἢ τὸ ἄλλο, πρὶν ἀκόμη κερδίσῃ εἰς Χριστὸν τὸν ἑαυτόν του, ὁ τοιοῦτος πάσχει ἀπὸ ἄσκοπον καὶ ἀνωφελῆ περιέργειαν καὶ εἶναι ἀξιολύπητος αἰχμάλωτος.

4. Ὅποιος ἀγρυπνεῖ, διὰ νὰ μὴ αἰχμαλωτισθῇ, προτιμᾷ νὰ ρίπτῃ μὲ ταπείνωσιν τὸν ἑαυτόν του ἐνώπιον τοῦ Θεοῦ, ἐπιζητῶν πάντοτε τὸ ἔλεός Του.

5. Μὴ ζητήσῃς νὰ κατανοήσῃς τὰς ὑψηλὰς λεπτομερείας τῶν κριμάτων τοῦ Θεοῦ, ὅταν τὸν παρακαλῇς νὰ σὲ βοηθήσῃ καὶ νὰ ἔλθῃ νὰ σὲ σώσῃ ἀπὸ τὴν ἁμαρτίαν· διότι ὅλα τὰ ἀφορῶντα τὸν Θεὸν ἔρχονται μόνα των, ἐὰν ὁ τόπος, ποὺ θὰ τὰ δεχθῇ, δηλαδὴ ἡ καρδία, καταστῇ ἁγνὴ καὶ καθαρά.

6. Ὅποιος στηρίζεται εἰς τὰς γνώσεις του καὶ κάμνει τὸ θέλημά του, ἀποκτᾷ ἔχθραν εἰς τὴν ψυχήν του καὶ δὲν δύναται νὰ ἀπομακρυνθῇ ἀπὸ τὸ πνεῦμα, ποὺ φέρει λύπην εἰς τὴν καρδίαν του.

7. Ἐκεῖνος, ποὺ μελετᾷ ἐπιφανειακῶς τοὺς λόγους τῆς Γραφῆς καὶ τοὺς ἑρμηνεύει κατὰ τὴν γνώμην του καὶ κρίνει τὸν ἑαυτόν του, ἐπὶ τῇ βάσει τῶν ὑπ' αὐτοῦ ἑρμηνευομένων, ὅτι εἶναι ἐν τάξει, ὁ τοιοῦτος ἀσφαλῶς δὲν γνωρίζει τὴν δόξαν τοῦ Θεοῦ, οὔτε τὸν πλοῦτον τῆς καλωσύνης του.

8. Ἀντιθέτως, αὐτὸς ποὺ ἐγκολποῦται τοὺς λόγους τῆς Ἁγίας Γραφῆς καὶ λέγει, μὲ ταπείνωσιν· δὲν γνωρίζω νὰ τοὺς ἑρμηνεύσω, εἶμαι ἄνθρωπος, ὁ τοιοῦτος δοξάζει τὸν Θεὸν καὶ εἰς τὴν καρδίαν του ἀποθησαυρίζεται ὁ πλοῦτος τοῦ Θεοῦ, ἀναλόγως τῆς πνευματικῆς του δυνάμεως καὶ τοῦ λογισμοῦ του.





ΥΠΟΘΕΣΙΣ ΙΗ´

Ὅτι δεῖ τὸν πιστὸν ἀπέχεσθαι ὅλως τῆς ψευδωνύμου γνώσεως καὶ τοῦ αἱρετικοῖς ὁμιλεῖν, καὶ τίς ἡ κατὰ Θεὸν σοφία, καὶ ὅτι τισὶ καὶ ἡ ἰδιωτεία συμβάλλεται.

Ὁ πιστὸς πρέπει νὰ ἀπέχῃ τελείως ἀπὸ τὴν ψευδώνυμον γνῶσιν καὶ νὰ μὴ συναναστρέφεται μὲ αἱρετικούς. Ποία εἶναι ἡ πραγματικὴ κατὰ Θεὸν σοφία· μερικοὺς ἀνθρώπους τοὺς ὠφελεῖ νὰ ζοῦν ἐν ἁπλότητι μακρὰν τῶν συζητήσεων αὐτῶν.





Α´. Τοῦ Ἀββᾶ Ἡσαΐου.



ΑΔΕΛΦΕ, φύλαξον σεαυτόν, μὴ διαλέγεσθαι μετὰ τῶν αἱρετικῶν, θέλων, δῆθεν, στῆσαι τὴν πίστιν, μήποτε ὁ ἰὸς τῶν θανατηφόρων αὐτῶν λόγων πλήξῃ σε, ἀλλὰ μηδὲ βιβλίον αἱρετικῶν θελήσῃς ἀναγνῶναι, μήποτε τὴν σεαυτοῦ ψυχὴν θανατώσῃς.

2. Εἰς ὃ δὲ ἐφωτίσθης, τοῦτο κάτεχε, καὶ μὴ προσθῇς ἢ ἀφέλῃς ἀπ᾽ αὐτοῦ, ἀπόσχου δὲ τελείως καὶ τῆς ψευδωνύμου γνώσεως, ἥτις ἀνθίσταται τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, ὡς ὁ Ἀπόστολος ἀπεφήνατο.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, φύλαξε τὸν ἑαυτόν σου νὰ μὴ συνομιλῇς μὲ αἱρετικούς, ἐπιθυμῶν δῆθεν νὰ τοὺς στηρίξῃς εἰς τὴν πίστιν, μήπως τὸ δηλητήριον τῶν θανατηφόρων λόγων των τραυματίσῃ τὸ πνεῦμα σου καὶ τὸ φρόνημά σου· ἀλλ᾽ οὔτε ἀκόμη καὶ βιβλίον αἱρετικῶν νὰ μὴ θελήσῃς νὰ μελετήσῃς, μήπως θανατώσῃς τὴν ψυχήν σου.

2. Εἰς τὴν διδασκαλίαν ποὺ ἐφωτίσθης, κατὰ τὴν ἱερὰν κατήχησιν καὶ τὸ Ἅγιον Βάπτισμα, νὰ παραμένῃς σταθερῶς, ἀποστρεφόμενος τελείως τὴν ψευδώνυμον γνῶσιν (1), ἡ ὁποία ἀντιστρατεύεται πρὸς τὴν ὑγιαίνουσαν διδασκαλίαν, ὅπως εἶπε καὶ ὁ Ἀπόστολος Παῦλος (Α´ Τιμ. α´ 10).

1) Ψευδώνυμος γνῶσις ἐκαλεῖτο κυρίως ἡ αἵρεσις τῶν Γνωστικῶν, οἵτινες συνεδύαζον φιλοσοφικὰ καὶ χριστιανικὰ στοιχεῖα, διακηρύσσοντες, ὅτι αὐτοὶ μόνον κατέχουν τὴν ἀληθῆ γνῶσιν, ἐξ οὗ καὶ Γνωστικοί. Τοιοῦτοι αἱρετικοὶ ἦσαν ὁ Μαρκίων, ὁ Βασιλείδης καὶ ἄλλοι.

Β'. Τοῦ Ἀββᾶ Μάρκου.

Η ΤΟΥ κόσμου τούτου σοφία, μωρία ἐστὶ παρὰ τῷ Θεῷ, ὥς φησιν ὁ Ἀπόστολος, ἡ δὲ ἐκ Θεοῦ, ἄνωθέν ἐστι παρὰ τοῦ Πατρὸς τῶν φώτων, ἧς τεκμήριον ἡ ταπεινοφροσύνη.

2. Οἱ ἀνθρωπαρεσκεῖν βουλόμενοι, ἀντὶ τῆς θείας, τὴν ἀνθρωπίνην σοφίαν προσεδέξαντο, καὶ ἐν ταύτῃ φυσιούμενοι καὶ ἐγκαυχώμενοι, πολλοὺς τῶν ἁπλουστέρων ἠπάτησαν, πείσαντες οὐκ ἐν πόνοις εὐσεβείας καὶ προσευχῆς, ἀλλ' ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις φιλοσοφεῖν, ἣν καὶ ὁ Ἀπόστολος συνεχῶς μέμφεται, κένωσιν τοῦ Σταυροῦ ὀνομάζων.

3. Φησὶ γὰρ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ· «Οὐκ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ Σταυρὸς τοῦ Χριστοῦ»· καὶ πάλιν, «τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ ἀγενῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ, ἵνα μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ».

4. Εἰ οὖν ὁ Θεὸς οὐκ ἐν ῥήμασιν ἑλληνικῆς σοφίας, ἀλλ' ἐν πονήμασι προσευχῆς καὶ ταπεινοφροσύνης εὐδοκεῖ, καθὼς ἀποδέδεικται, ἀπεχώμεθα καὶ ἡμεῖς παντελῶς τῆς ψευδωνύμου γνώσεως, ἵνα μὴ τῆς παρὰ Θεοῦ σοφίας ἐκπέσωμεν.

5. Εἶδον ἰδιώτας ἔργῳ ταπεινοφρονήσαντας, καὶ ἐγένοντο τῶν σοφῶν σοφώτεροι. Ἕτερος ἰδιώτης ἀκούσας, τὴν ταπείνωσιν οὐκ ἐμιμήσατο, ἀλλ' ἐπὶ τῇ ἰδιωτείᾳ κενοδοξῶν, ὑπερηφανίαν προσελάβετο.

6. Ὁ σύνεσιν ἐξουθενῶν, καὶ εἰς ἀμαθίαν ἐγκαυχώμενος, οὐκ ἔστιν ἰδιώτης μόνον τῷ λόγῳ, ἀλλὰ καὶ τῇ γνώσει.

7. Ὥσπερ ἄλλο ἐστὶ σοφία λόγου καὶ ἄλλο φρόνησις, οὕτως ἕτερόν ἐστιν ἰδιωτεία λόγου, καὶ ἕτερον ἀφροσύνη· οὐδὲν βλάψει ἀμαθία λόγου τὸν εὐλαβέστατον, ὡς οὐδὲ σοφία λόγου τὸν ταπεινόφρονα.

8. Μὴ λέγε οὐκ ἐπίσταμαι τὸ δέον, καὶ ἀναίτιός εἰμι μὴ ποιήσας αὐτό· εἰ γὰρ ἐποίεις καλὰ ὅσα ἐπίστασαι, καὶ τὰ λοιπά σοι ἀκολούθως ἀπεκαλύπτετο, οἰκίσκων τρόπῳ, ἓν δι' ἑνὸς κατανοούμενα.

9. Οὐ συμφέρει σοι πρὸ ἐργασίας τῶν προτέρων εἰδέναι τὰ δεύτερα· ἡ γὰρ γνῶσις φυσιοῖ διὰ τὴν ἀργίαν, ἡ δὲ ἀγάπη οἰκοδομεῖ διὰ τὸ πάντα ὑπομένειν.

10. Ἓν δι' ἑνὸς τὰ κακὰ λαμβάνει τὴν δύναμιν, ὁμοίως καὶ τὰ ἀγαθὰ δι' ἀλλήλων αὐξάνονται, καὶ τὸν ἑαυτῶν μέτοχον ἐπὶ τὰ πρόσω μειζόνως προτρέπονται.

11. Χωρὶς μνήμης Θεοῦ, γνῶσις ἀληθὴς εἶναι οὐ δύναται, ἐκτὸς γὰρ τῆς προτέρας, ἡ δευτέρα νόθος ὑπάρχει.

12. Τὸν σκληροκάρδιον ὠφελεῖ λεπτοτέρας γνώσεως λόγος, διότι ἐκτὸς φόβου, μετανοίας πόνους οὐ καταδέχεται.

13. Τῷ πραεῖ ἀνθρώπῳ πιστολογία συμβάλλεται, καθότι οὐ πειράζει μακροθυμίαν Θεοῦ, καὶ οὐ τύπτεται ἐν τῇ πυκνῇ παραβάσει.

Ἑρμηνεία

Η ΣΟΦΙΑ τοῦ κόσμου αὐτοῦ εἶναι μωρία ἐνώπιον τοῦ Θεοῦ, ὅπως εἶπεν ὁ Ἀπόστολος Παῦλος (Α΄ Κορ. γ΄ 19)· ἀντιθέτως ἡ σοφία, ποὺ προέρχεται ἐκ τοῦ Θεοῦ, εἶναι ἀπὸ ἄνωθεν, ἀπὸ τὸν πατέρα τῶν Φώτων, ὡς λέγει ὁ θεῖος Ἰάκωβος (α΄ 17), καὶ ἔχει ὡς γνώρισμα τὴν ταπεινοφροσύνην.

2. Ὅσοι ἐπιθυμοῦν νὰ ἀρέσουν εἰς τοὺς ἀνθρώπους, παρεδέχθησαν, ἀντὶ τῆς Θείας σοφίας, τὴν ἀνθρωπίνην· ἐξ αἰτίας λοιπὸν τῆς ἀνθρωπίνης αὐτῆς σοφίας καυχῶνται καὶ ὑπερηφανεύονται ἐξαπατήσαντες πολλοὺς ἀπὸ τοὺς ἁπλουστέρους Χριστιανούς. Αὐτοὺς τοὺς ἁπλοῦς ἀνθρώπους τοὺς ἔπεισαν νὰ χάνουν τὸν χρόνον των εἰς φιλοσοφικὰς ἀναζητήσεις, στηριζόμενοι εἰς λόγους ἀνθρωπίνης σοφίας, ἀντὶ νὰ προσπαθοῦν νὰ σωθοῦν μὲ τοὺς κόπους τῆς εὐσεβείας καὶ τὴν προσευχήν (Α' Κορ. β' 4). Τοῦτο κατηγορεῖ συνεχῶς καὶ ὁ Ἀπόστολος ἀποκαλῶν κένωσιν (=κατάργησιν) τοῦ Σταυροῦ.

3. Ἰδοὺ τί γράφει σχετικῶς εἰς τὴν Α' πρὸς Κορινθίους ἐπιστολήν· «οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ Σταυρὸς τοῦ Χριστοῦ» (Α' Κορ. α' 17). Ἀλλοῦ πάλιν λέγει· «τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τὰ ἰσχυρά, καὶ τὰ ἀγενῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ, ὅπως μὴ καυχήσηται πᾶσα σάρξ ἐνώπιον τοῦ Θεοῦ» (Α' Κορ. α' 27—29).

4. Ἐφ' ὅσον λοιπὸν ὁ Θεὸς δὲν ζητεῖ τοὺς λόγους τῆς Ἑλληνικῆς σοφίας, ἀλλὰ τοὺς κόπους τῆς προσευχῆς καὶ τῆς ταπεινοφροσύνης, ὅπως ἔχει ἀποδειχθῆ, καὶ ἡμεῖς ἂς ἀπέχωμεν τελείως ἀπὸ τὴν ψευδώνυμον γνῶσιν, διὰ νὰ μὴ ἀπομακρυνθῶμεν ἐπικινδύνως ἀπὸ τὴν περιοχὴν τῆς σοφίας τοῦ Θεοῦ.

5. Ἐγνώρισα ἁπλοϊκοὺς ἀνθρώπους, ποὺ μὲ τὴν ταπεινοφροσύνην των ἀνεδείχθησαν σοφώτεροι καὶ ἀπὸ τοὺς σοφούς. Ἕνας ἄλλος ἰδιώτης, ποὺ ἤκουσε τὴν ἀξίαν τῆς ἁπλότητος, δὲν τὴν ἐμιμήθη μὲ ταπείνωσιν, ἀλλὰ καυχηθεὶς διὰ τὴν ἁπλότητά του, περιέπεσεν εἰς τὴν θεομίσητον ὑπερηφάνειαν.

6. Ἐκεῖνος, ποὺ κατεξευτελίζει τὴν σύνεσιν καὶ καυχᾶται διὰ τὴν ἀμάθειάν του, δὲν εἶναι μόνον ἀμαθὴς κατὰ τὸν λόγον, ἀλλὰ καὶ κατὰ τὴν γνῶσιν.

7. Ὅπως ἀκριβῶς ἄλλο πρᾶγμα εἶναι σοφία λόγου καὶ ἄλλο φρόνησις, τοιουτοτρόπως ἄλλο πρᾶγμα εἶναι ἡ ἁπλότης τοῦ λόγου, ἄλλο δὲ ἡ ἔλλειψις φρονήσεως. Εἰς τίποτε δὲν θὰ βλάψῃ ἡ ἀμάθεια τοῦ λόγου τὸν εὐλαβέστατον ἄνθρωπον, ἀλλὰ καὶ τὸν ταπεινόφρονα δὲν θὰ ζημιώσῃ ἡ σοφία τοῦ λόγου.

8. Νὰ μὴ λέγῃς δὲν γνωρίζω τί πρέπει νὰ κάμω, καὶ δι' αὐτὸ δὲν εὐθύνομαι ἐφ' ὅσον δὲν ἐκτελῶ τὸ πρέπον· διότι ἐὰν ἐξετέλεις ὅσα καλὰ σαφῶς ἐγνώριζες, θὰ σοῦ ἀπεκαλύπτοντο, ἐν συνεχείᾳ, καὶ τὰ ὑπόλοιπα· ἡ μία πρᾶξις, ἡ ἄγνωστος, θὰ κατενοεῖτο διὰ τῆς ἄλλης τῆς γνωστῆς, ὅπως ἀκριβῶς συμβαίνει καὶ μὲ τοὺς οἰκίσκους τῶν ἀγροτικῶν οἰκισμῶν, εἰς τοὺς ὁποίους μετὰ τὸν ἕνα ἀνακαλύπτομεν τὸν ἄλλον.

9. Δὲν εἶναι πρὸς τὸ συμφέρον σου νὰ γνωρίζῃς τὰ ἑπόμενα, πρίν, προηγουμένως, δι' ἐπιπόνου ἐργασίας ἐκτελέσῃς τὰ προηγούμε-

να, διότι ἡ γνῶσις, ἐξ ἀφορμῆς τῆς ἀργίας, φουσκώνει τὸν ἄνθρωπον ἀπὸ ὑπερηφάνειαν, ἐνῷ ἡ ἀγάπη οἰκοδομεῖ μὲ τὸ νὰ ὑπομένωμεν τὰ πάντα, ὅπως καὶ ὁ οὐρανοβάμων Ἀπόστολος διδάσκει (Α' Κορ. ιγ' 1-8).

10. Τὸ ἓν μὲ τὸ ἄλλο τὰ ἁμαρτήματα ἐνισχύουν τὴν δύναμιν τοῦ κακοῦ, ὅπως ἀκριβῶς καὶ τὰ ἀγαθὰ αὐξάνονται διὰ τῆς μεταξύ των συναφείας καὶ ὑποβοηθοῦν τὸν μέτοχον αὐτῶν εἰς τὴν πνευματικὴν πρόοδον καὶ ἄνοδον.

11. Χωρὶς τὴν διαρκῆ ἐνθύμησιν τοῦ Θεοῦ, εἶναι ἀδύνατος ἡ πραγματικὴ καὶ γνησία γνῶσις· διότι ἡ γνῶσις, χωρὶς τὴν ἐνθύμησιν τοῦ Θεοῦ, εἶναι νόθος.

12. Αὐτὸν τοῦ ὁποίου ἡ καρδία δὲν ἔχει μαλακώσει ἀκόμη ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, ὠφελεῖ ὁ λόγος τῆς ὑψηλοτέρας καὶ λεπτοτέρας γνώσεως, διότι ὁ ἄνθρωπος αὐτὸς δὲν δύναται, χωρὶς φόβον, νὰ ἀναλάβῃ τοὺς κόπους τῆς μετανοίας.

11 Ἔλεγον περί τινος Γέροντος, ὅτι καθήμενος ἐν τῷ κελλίῳ αὐτοῦ καὶ ἀγωνιζόμενος, ἔβλεπε τοὺς δαίμονας φανερῶς, καὶ ηὐτέλιζεν αὐτούς. Βλέπων δὲ ὁ διάβολος ἑαυτὸν ἡττώμενον ὑπὸ τοῦ Γέροντος, ἐλθὼν ἐνεφάνισεν αὐτῷ λέγων· ἐγώ εἰμι ὁ Χριστός.

12. Ἰδὼν δὲ αὐτὸν ὁ Γέρων, ἐκάμμυσε τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἶπε δὲ ὁ διάβολος· τί καμμύεις τοὺς ὀφθαλμούς σου; ἐγώ εἰμι ὁ Χριστός. Ἀπεκρίθη ὁ Γέρων· ἐγὼ τὸν Χριστὸν ὧδε οὐ θέλω ἰδεῖν. Ἀκούσας δὲ τοῦτο ὁ δαίμων, ἀφανὴς ἐγένετο.

13. Ἄλλῳ Γέροντι εἶπον οἱ δαίμονες· θέλεις ἰδεῖν τὸν Χριστόν; Καὶ ἀπεκρίθη αὐτοῖς· ἀνάθεμα ὑμῖν, καὶ ᾧ λέγετε, τῷ γὰρ ἐμῷ Χριστῷ πιστεύω εἰπόντι, ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ Χριστός, ἢ ὧδε, μὴ πιστεύσητε. Καὶ ἀκούσαντες οἱ δαίμονες ἀφανεῖς ἐγένοντο.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ ἀδελφοὶ ἐπεσκέφθησαν τὸν Ἀββᾶν Ἀντώνιον, διὰ νὰ τοῦ ἀναφέρουν ὡρισμένας φανταστικὰς παραστάσεις, ποὺ ἔβλεπον, καὶ νὰ πληροφορηθοῦν παρ' αὐτοῦ ἐὰν εἶναι ἀληθιναὶ ἢ προέρχονται ἀπὸ τοὺς δαίμονας· μαζί των εἶχον καὶ ἕνα γαϊδουράκι, τὸ ὁποῖον, καθ' ὁδόν, ἐψόφησε.

2. Μόλις συνηντήθησαν οἱ ἀδελφοὶ μὲ τὸν Ὅσιον Ἀντώνιον, καὶ ἀφοῦ τοὺς ἐχαιρέτησε, τοὺς εἶπε:

—Πῶς ἐψόφησε τὸ γαϊδουράκι σας εἰς τὸν δρόμον;

Κατάπληκτοι οἱ ἀδελφοὶ τὸν ἠρώτησαν:
—Πῶς τὸ γνωρίζεις, Ἀββᾶ, αὐτὸ τὸ πρᾶγμα;
Καὶ ὁ Ὅσιος Ἀντώνιος τοὺς ἀπαντᾷ:
—Μοῦ τὸ ἐφανέρωσαν οἱ δαίμονες.
—Μὰ καὶ ἡμεῖς—εἶπον ἐν συνεχείᾳ οἱ ἀδελφοί—δι' αὐτὸ ἤλθομεν νὰ σὲ ἐρωτήσωμεν, διότι βλέπομεν μερικὰ πράγματα, τὰ ὁποῖα ὅμως βγαίνουν ἀληθινά· μήπως πλανώμεθα;
3. Τότε ὁ Ὅσιος Ἀντώνιος, μὲ τὸ παράδειγμα τοῦ ὄνου, τοὺς ἐπληροφόρησεν, ὅτι αἱ εἰκόνες, τὰς ὁποίας ἔβλεπον, ἦσαν φαντασίαι καὶ τεχνουργήματα τοῦ διαβόλου, τὰ ὁποῖα κατασκεύαζε χρησιμοποιῶν πρὸς τοῦτο τὴν ἰδικήν των φαντασίαν.

4. Ἕνας ἀδελφὸς ἠσκήτευε μόνος του. Κάποτε λοιπὸν ἦλθον νὰ τὸν πειράξουν οἱ δαίμονες, ὑπὸ τὸ σχῆμα Ἀγγέλων. Τὸν ἐσήκωσαν δὲ διὰ τὴν νυκτερινὴν ἀκολουθίαν καὶ τοῦ ἐπεδείκνυον φῶτα.
Ὁ Ἀσκητὴς αὐτὸς ἐπεσκέφθη ἕνα Γέροντα, διὰ νὰ ἐξιστορήσῃ τὸ φαινόμενον καὶ νὰ ζητήσῃ τὴν γνώμην του. Τοῦ λέγει:
—Ἀββᾶ, εἰς τὸ κελλί μου ἔρχονται Ἄγγελοι μὲ φῶτα καὶ μὲ σηκώνουν διὰ τὴν ἀκολουθίαν.
Ὁ Γέρων τοῦ ἀπήντησε:
—Πρόσεξε, μὴ τοὺς ἀκούσῃς, διότι εἶναι δαίμονες· ὅταν ἔλθουν νὰ σὲ ἐξυπνήσουν, σὺ νὰ εἰπῇς πρὸς αὐτούς· «Ἐγὼ δὲν σᾶς ἀκούω, θὰ σηκωθῶ ὁπόταν θελήσω».
5. Πράγματι ὁ ἀδελφὸς ἤκουσε μετὰ προσοχῆς τὴν παραγγελίαν τοῦ Γέροντος καὶ ἀπεφάσισε νὰ τὴν ἐκτελέσῃ. Ἐπῆγε καὶ ἐνεκλείσθη εἰς τὸ κελλίον του. Τὴν ἐπομένην νύκτα ἦλθον πάλιν, κατὰ τὴν συνήθειάν των, οἱ δαίμονες καὶ τὸν ἐξύπνησαν. Τότε ὁ ἀδελφός, κατὰ τὴν παραγγελίαν, ποὺ εἶχεν, εἶπε πρὸς τοὺς δαίμονας:
—Δὲν σᾶς ἀκούω, ὅποτε θέλω ἐγὼ θὰ σηκωθῶ.
Οἱ δαίμονες εἰς ἀπάντησιν τοῦ εἶπον:
—Σὲ ἐπλάνησεν ἐκεῖνος ὁ ψεύστης, ὁ κακόγηρος; Μάθε ποῖος εἶναι· πρὸ ἡμερῶν τὸν ἐπεσκέφθη ἕνας ἀδελφὸς διὰ νὰ τοῦ ζητήσῃ ἕνα νόμισμα. Καὶ ἐκεῖνος, ἐνῷ εἶχε, τοῦ εἶπε ψεύματα, ὅτι δὲν εἶχε καὶ δὲν τοῦ ἔδωσε. Ἐξ αὐτοῦ μάθε ὅτι εἶναι ψεύστης.
6. Μόλις ἐξημέρωσε, μετέβη ὁ ἀδελφὸς πρὸς τὸν Γέροντα καὶ τοῦ ἀνέφερε τὶ τοῦ εἶπον οἱ δαίμονες.
Ὁ Γέρων ἀπήντησεν:
—Ὁμολογῶ, ὅτι πράγματι εἶχον νόμισμα· δὲν ἔδωσα ὅμως εἰς τὸν ἀδελφόν, ποὺ τὸ ἐζήτει, διότι μὲ ἐπληροφόρει ἡ συνείδησίς μου, ὅτι θὰ προέκυπτε ψυχικὴ ζημία. Ἀπεφάσισα λοιπὸν νὰ παραβῶ ἐγὼ μίαν ἐντολὴν διὰ νὰ μὴ ζημιωθῇ ὁ ἀδελφός, ὁπότε θὰ παρεβαίναμεν δέκα ἐντολάς. Σὺ πάντως νὰ μὴ δίδῃς προσοχὴν εἰς τοὺς δαίμονας, ποὺ θέλουν νὰ σὲ πλανήσουν.

Οὕτω ὁ ἀδελφός, ἐνδυναμωθεὶς ἐξ ὅσων ἤκουσεν ἀπὸ τὸν Γέροντα, ἐπέστρεψεν εἰς τὸ κελλίον του.

7. Δύο ἀδελφοὶ ἀνεχώρησαν εἰς τὴν βαθυτέραν ἔρημον. Συνεφώνησαν δὲ τὰς μὲν ἓξ ἡμέρας τῆς ἑβδομάδος νὰ παραμένουν ἕκαστος κατὰ μόνας ἀγωνιζόμενοι, τὴν δὲ ἑβδόμην νὰ συναντῶνται, νὰ προσεύχωνται ἀπὸ κοινοῦ καὶ νὰ τρώγουν ὀλίγον, χωρὶς νὰ ἀνταλλάσσουν λέξιν. Πράγματι αὐτὸ ἐγίνετο.

8. Τὴν ὡραίαν ὅμως αὐτὴν ἄσκησιν ἐσκέφθησαν οἱ δαίμονες νὰ τὴν καταστρέψουν. Μετέβησαν λοιπὸν εἰς τὸν ἕνα ἐξ αὐτῶν καὶ τὸν ἐξηπάτουν μὲ πολλοὺς τρόπους· τοῦ προέλεγον δηλαδὴ ἐπισκέψεις ἀδελφῶν, ὡς καὶ περιστατικά, ποὺ συνέβαινον εἰς ἄλλους τόπους. Ὁ Ἀσκητής, βλέπων καὶ ἀκούων ὅτι αὐτὰ ἐπραγματοποιοῦντο, δὲν ἀντελήφθη τὴν παγίδα τοῦ διαβόλου, ἀλλ' ἐνόμισεν, ὅτι ἦσαν Ἄγγελοι αὐτοί, ποὺ τοῦ προέλεγον αὐτά. Μετ' ὀλίγον μάλιστα τὸν ἠμπόδισαν καὶ νὰ φεύγῃ τὴν καθωρισμένην ἡμέραν, διὰ νὰ συναντᾷ τὸν ἄλλον ἀδελφόν.

9. Κάποτε λοιπὸν ὁ ἐμπαιζόμενος ὑπὸ τῶν δαιμόνων Μοναχὸς ἐπεσκέφθη ἕνα ἀδελφὸν εἰς τὸ Μοναστήριον. Εἰς μίαν στιγμὴν ἐρωτᾷ μερικοὺς ἀδελφούς, ἐὰν εἶναι δυνατὸν ἕνας ἄνθρωπος νὰ γνωρίζῃ τὶ συμβαίνει εἰς ἀπομεμακρυσμένα ἀπὸ τὸν τόπον του σημεῖα. Οἱ συνομιληταί του ὅμως ἀντελήφθησαν, ὅτι ἐπρόκειτο περὶ σατανικῆς ἀπάτης, τῆς ὁποίας θῦμα ἦτο ὁ ἴδιος καὶ τοῦ εἶπον μὲ ἐπιτιμητικὴν αὐστηρότητα:

—Πρόσεξε, ἐὰν ἐξακολουθῇς νὰ δίδῃς σημασίαν εἰς τὰ σατανικὰ αὐτὰ τεχνουργήματα, νὰ μὴ ξαναεπισκεφθῇς τὸ Μοναστήριον.

Ἡ ἀδελφικὴ αὐτὴ ἀπειλὴ τὸν συνέτισε καὶ ἀμέσως μετενόησεν, ἀπαρνηθεὶς ὅλας ἐκείνας τὰς ἐπικινδύνους πλάνας.

10. Μόλις ἐπέστρεψεν εἰς τὸν τόπον τῆς ἀσκήσεώς του, ἦλθον πάλιν οἱ δαίμονες, ὡς συνήθως, διὰ νὰ τὸν ἐξαπατήσουν. Τότε ὁ ἀνανήψας Μοναχὸς τοὺς ἐξώρκισε καὶ τοὺς ἀπεκάλει ψεύστας· οἱ δαίμονες παρευθὺς μετεβλήθησαν εἰς ἄλογα ζῷα καὶ ἀφοῦ τὸν ἠπείλησαν, ἀνεχώρησαν ἀπὸ κοντά του.

11. Διὰ κάποιον Γέροντα Ἀσκητὴν διηγοῦντο τὸ ἑξῆς: Ὁσάκις παρέμενεν εἰς τὸ κελλίον του καὶ ἠγωνίζετο, ἔβλεπεν ὀφθαλμοφανῶς τοὺς δαίμονας καὶ τοὺς κατεξηυτέλιζεν. Βλέπων ὁ διάβολος νὰ νικᾶται ὑπὸ τοῦ Γέροντος, μετεμορφώθη καὶ ἐνεφανίσθη ἐκ νέου ἐνώπιόν του, καὶ τοῦ λέγει:

—Ἐγὼ εἶμαι ὁ Χριστός.

12. Μόλις τὸν εἶδεν ὁ Γέρων ἀμέσως ἔκλεισε τοὺς ὀφθαλμούς του. Ὁ διάβολος τοῦ λέγει ἐκ νέου:

—Διατί κλείνεις τοὺς ὀφθαλμούς σου; ἐγὼ εἶμαι ὁ Χριστός.

Τότε καὶ ὁ Γέρων μετὰ θάρρους ἀπήντησεν:

—Ἐγὼ δὲν θέλω νὰ ἰδῶ τὸν Χριστὸν εἰς αὐτὸν ἐδῶ τὸν κόσμον.
Μόλις ἤκουσε τὴν ἀπάντησιν ὁ δαίμων ἐξηφανίσθη ἀμέσως.

13. Εἰς ἕνα ἄλλον Γέροντα εἶπον οἱ δαίμονες:
—Θέλεις νὰ ἰδῇς τὸν Χριστόν;
Ὁ Γέρων μετ' ἀγανακτήσεως ἀπήντησε:
—Ἀνάθεμα εἰς σᾶς καὶ εἰς αὐτό, ποὺ μοῦ προτείνετε· διότι ἐγὼ πιστεύω εἰς τὸν Χριστόν μου, ποὺ μοῦ εἶπε, διὰ τοῦ ἱεροῦ Του Εὐαγγελίου, «ἐὰν σᾶς εἴπῃ κανείς, ὅτι νά, ἐδῶ εἶναι ὁ Χριστὸς ἢ ἐκεῖ, νὰ μὴ πιστεύσητε» (Ματθ. κδ' 23). Ὅταν ἤκουσαν αὐτοὺς τοὺς λόγους οἱ δαίμονες ἐξηφανίσθησαν.

Δ'. Τοῦ Ἁγίου Διαδόχου.

ΟΤΑΝ ὁ νοῦς ἄρξηται τῆς τοῦ Ἁγίου Πνεύματος αἰσθάνεσθαι παρακλήσεως, τότε καὶ ὁ σατανᾶς ἐν ἡδυφανεῖ τινι αἰσθήσει ἐν ταῖς νυκτεριναῖς ἡσυχίαις ὅτε τις ὥσπερ εἰς ὕπνου λεπτότητα ἔρχεται, τὴν ψυχὴν παρακαλεῖ.

2. Ἐὰν οὖν ἐν θερμῇ λίαν μνήμῃ εὑρεθῇ κρατῶν ὁ νοῦς τὸ ὄνομα τὸ Ἅγιον τοῦ Κυρίου Ἰησοῦ, καὶ ὥσπερ ὅπλῳ κέχρηται κατὰ τῆς ἀπάτης τῷ Ἁγίῳ καὶ ἐνδόξῳ ἐκείνῳ Ὀνόματι, ἀναχωρεῖ μὲν ὁ πλάνος τοῦ δούλου, εἰς πόλεμον δὲ λοιπὸν ἀνυπόστατον ἐξάπτεται τῆς ψυχῆς.

3. Ὅθεν ἐπιγινώσκων ὁ νοῦς τὴν ἀπάτην τοῦ πονηροῦ, πλέον εἰς πεῖραν προκόπτει τῆς διακρίσεως. Ἡ ἀγαθὴ παράκλησις ἐγρηγορότος τοῦ σώματος γίνεται, ἢ καὶ εἰς ὕπνου τινὸς ἔμφασιν μέλλοντος ἔρχεσθαι, ὅτε τις ἐν θερμῇ μνήμῃ τοῦ Θεοῦ, τῇ Αὐτοῦ ἀγάπῃ, κεκόλληται.

4. Ἡ δὲ τῆς πλάνης, εἰς λεπτόν τινα ἀεὶ ὡς ὕπνον ἐλθόντος τοῦ ἀγωνιστοῦ, μετὰ μέσης μνήμης τοῦ Θεοῦ, ἡ μὲν γὰρ ὡς ἐκ Θεοῦ οὖσα φανερῶς τὰς ψυχὰς τῶν τῆς εὐσεβείας ἀγωνιστῶν, ἐν ἐκχύσει πολλῇ τῆς ψυχῆς παρακαλεῖν πρὸς τὴν ἀγάπην θέλει.

5. Ἡ δὲ ἐπειδὴ ἐν ἀνέμῳ τινὶ πλάνης ῥιπίζειν τὴν ψυχὴν εἴωθε, βλέπειν ἐπιχειρεῖ διὰ τοῦ ὕπνου τοῦ σώματος τὴν πεῖραν τῆς αἰσθήσεως, τοῦ ὑγιαίνοντος νοῦ περὶ τὴν μνήμην τοῦ Θεοῦ.

6. Ἐὰν οὖν εὑρεθῇ ὁ νοῦς, ὡς εἶπον, προσεχῶς μεμνημένος τοῦ Θεοῦ, σκορπίζει μὲ τὴν αὔραν ἐκείνην τὴν ἡδυφανῆ τοῦ ἐχθροῦ, χαίρων δὲ εἰς τὸν κατ' αὐτοῦ κινεῖται πόλεμον, ὡς ὅπλον ἔχων λοιπὸν δεύτερον, μετὰ τὴν Χάριν, τὸ ἐκ τῆς πείρας καύχημα.

7. Ἐὰν ἀναμφιβόλῳ καὶ ἀφαντάστῳ κινήσει ἡ ψυχὴ πρὸς τὴν ἀγάπην ἐξάπτηται τοῦ Θεοῦ, ἕλκουσα ὥσπερ καὶ τὸ σῶμα εἰς βάθος τῆς ἀγάπης ἐκείνης τῆς ἀῤῥήτου, ἢ ἐγρηγορότος, ἢ ᾧ εἴρηκα τρόπῳ, εἰς ὕπνον ἐρχομένου τοῦ ὑπὸ τῆς Χάριτος ἐνεργουμένου μηδὲν ἄλλο τότε ὅλως ἐννοοῦσα, ἢ τοῦτο μόνον εἰς ὅπερ κεκίνηται, εἰδέναι δεῖ τοῦ Ἁγίου Πνεύματος εἶναι τὴν ἐνέργειαν· ἡδυνομένη γὰρ ὅλη ὑπ' ἐκείνης τῆς ἀφράστου γλυκύτητος, οὐδὲν ἕτερον τότε δύναται ἐννοεῖν, ἐπειδὴ ἀνενδότῳ εὐφραίνεται χαρᾷ

8. Ἐὰν δὲ ἀμφιβολίαν ὅλως, ἢ ῥυπαράν τινα ἔννοιαν ὁ νοῦς ἐν τῷ ἐνεργεῖσθαι συλλάβοι, ἢ καὶ τῷ Ἁγίῳ κέχρηται Ὀνόματι πρὸς ἄμυναν τοῦ ἐχθροῦ, καὶ οὐχὶ μᾶλλον πρὸς ἀγάπην μόνον τοῦ Θεοῦ, δεῖ νοεῖν, ὅτι ἐκ τοῦ ἀπατεῶνος ἐστὶν ἐκείνη ἡ παράκλησις, χαρᾶς ἐμφάσει θέλοντος μοιχεῦσαι τὴν ψυχήν, ἡ δὲ

χαρὰ ἐκείνη, ἄποιός ἐστιν ὅλη καὶ ἀμετάθετος, μᾶλλον δὲ ἀδιάθετος.

9. Ὅταν γὰρ ἴδῃ τὸν νοῦν τῇ πείρᾳ τῆς ἑαυτοῦ αἰσθήσεως ἀκριβῶς καυχώμενον, τότε παρακλήσεσί τισιν, ὡς ἔφην, χριστοφανέσι προσκαλεῖται τὴν ψυχήν, ἵνα διαφορουμένης αὐτῆς ὑπὸ τῆς χαύνης ἐκείνης καὶ καθύγρου ἡδύτητος, ἀγνώριστος αὐτῇ γένοιτο ἡ μῖξις τοῦ δολίου.

10. Ἐκ τούτου οὖν γνωσόμεθα τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης· ἀδύνατον μέντοι ἢ τῆς θείας χρηστότητος ἐν αἰσθήσει γεύσασθαί τινα, ἢ τῆς τῶν δαιμόνων πικρίας αἰσθητῶς πειραθῆναι, εἰ μή τις ἑαυτὸν πληροφορήσει.

11. Τὴν μὲν Χάριν εἰς τὸ βάθος τοῦ νοῦ κατεσκηνωκέναι, τὰ δὲ πονηρὰ πνεύματα περὶ τὰ μέλη τῆς καρδίας ἐνδιατρίβειν, ὅπερ οὐ θέλουσί ποτε οἱ δαίμονες παρὰ ἀνθρώποις πιστευθῆναι, ἵνα μὴ ὁ νοῦς τοῦτο εἰδὼς ἀκριβῶς, τῇ μνήμῃ τοῦ Θεοῦ κατ' αὐτῶν ὁπλίζεται.

12. Μηδεὶς ἀκούων αἴσθησιν νοός, ὁρατῶς αὐτῷ τὴν δόξαν τοῦ Θεοῦ ὀφθῆναι ἐλπιζέτω· αἰσθάνεσθαι μὲν γάρ φαμεν, τὴν ψυχὴν ὅταν καθαρεύῃ, ἀῤῥήτῳ τινὶ γεύσει τῆς θείας παρακλήσεως, οὐ φαίνεσθαι δὲ αὐτῇ τι τῶν ἀοράτων, ἐπειδὴ νῦν «διὰ πίστεως περιπατοῦμεν» καὶ «οὐ διὰ εἴδους», ὡς ὁ μακάριος Παῦλος λέγει.

13. Ἐὰν οὖν ὀφθῇ τινι τῶν ἀγωνιζομένων, ἢ φῶς, ἢ σχῆμα πυροειδές, μηδαμῶς καταδεξάσθω τὸ τοιοῦτον ὅραμα· ἀπάτη γάρ ἐστι φανερὰ τοῦ ἐχθροῦ, ὅπερ πολλοὶ παθόντες ἐξ ἀνοίας, ἐξετράπησαν τῆς ὁδοῦ τῆς ἀληθείας· ἡμεῖς δὲ ἴσμεν, ὅτι ἐφ' ὅσον ἐνδημοῦμεν ἐν τῷ φθαρτῷ τούτῳ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Θεοῦ, τουτέστιν ὁρατῶς, ἢ αὐτόν, ἢ τι τῶν ἐπουρανίων Αὐτοῦ θαυμάτων ὁρᾶν οὐ δυνάμεθα.

Ἑρμηνεία

ΟΤΑΝ ὁ νοῦς θὰ ἀρχίσῃ νὰ δοκιμάζῃ τὴν γλυκεῖαν εὐχαρίστησιν ἐκ τῆς πρὸς αὐτὸν ἀκτινοβολίας τοῦ Ἁγίου Πνεύματος, τότε καὶ ὁ σατανᾶς ἔρχεται νὰ ἀντιδράσῃ κατὰ τῆς ἐνεργείας αὐτῆς. Κατὰ τὴν ὥραν δηλαδὴ τῆς νυκτερινῆς ἡσυχίας, καὶ μόλις κανεὶς καταληφθῇ ἀπὸ ὀλίγον ὕπνον, τότε καὶ ὁ σατανᾶς πλησιάζει τὴν ψυχὴν καὶ τῆς προσφέρει, πρὸς εὐχαρίστησιν, αἴσθησίν τινα, ἐξωτερικῶς μόνον γλυκαίνουσαν.

2. Ἐὰν λοιπὸν κατ' ἐκείνην τὴν στιγμὴν ὁ νοῦς ἐνθυμηθῇ μὲ φλογερὰν θερμότητα τὸ Ἅγιον Ὄνομα τοῦ Κυρίου Ἰησοῦ καὶ χρησιμοποιῇ τὸ Ἅγιον καὶ ἔνδοξον αὐτὸ Ὄνομα κατὰ τῆς ἀπάτης, ἀναχωρεῖ μὲν ἀμέσως ὁ πλάνος ἀπὸ τὸν γρηγοροῦντα δοῦλον, ἀνάβει ὅμως φοβερὸν πόλεμον εἰς τὴν ψυχήν.

3. Ἀπὸ αὐτὸ ὅμως ὁ νοῦς ἀντιλαμβάνεται πλέον σαφῶς τὴν ἀπάτην τοῦ πονηροῦ καὶ πλουτίζει τὴν πεῖραν του εἰς τὸ νὰ διακρίνῃ τὸ καλὸν ἀπὸ τὸ κακόν. Ἡ εὐχάριστος παρηγορία τῆς ψυχῆς, ἡ ὁποία, ὡς δῶρον τοῦ Ἁγίου Πνεύματος, εἶναι καλὴ καὶ ἀγαθή, ἐπισυμβαίνει ὅταν τὸ σῶμα εὑρίσκεται ξυπνητόν· ἀλλὰ καὶ κατὰ τὴν διάρκειαν τοῦ ὕπνου, εἶναι δυνατὸν τὸ ἀνθρώπινον πνεῦμα νὰ παρατηρήσῃ μίαν ἀνταύγειαν τοῦ μέλλοντος, τοῦτο ὅμως συμβαίνει ὅταν ὁ ἄνθρωπος αὐτὸς ἔχῃ κυριολεκτικῶς προσκολληθῇ εἰς τὴν θερμὴν ἀνάμνησιν τοῦ Θεοῦ, ἐκ τῆς πρὸς Αὐτὸν ἀγάπης του.

4. Ἡ παρηγορία ὅμως τῆς ψυχῆς, ποὺ ἀποβλέπει εἰς ἀποπλάνησιν, ἐπισυμβαίνει πάντοτε, ὅταν ὁ ἀγωνιστὴς καταληφθῇ ἀπὸ ὀλίγον ὕπνον, ὁπόταν ἡ μνήμη τοῦ Θεοῦ εἶναι μετρία ἢ καὶ ἀνύπαρκτος (λόγῳ τῆς ἐκ τοῦ ὕπνου ἀδρανείας τῶν νοητικῶν λειτουργιῶν)· διότι ἡ μὲν ἀγαθὴ παρηγορία τῆς ψυχῆς, ὡς προερχομένη ἐκ Θεοῦ, θέλει καὶ ἐπιδιώκει φανερῶς, ἐν ἐγρηγόρσει τοῦ νοῦ καὶ τοῦ σώματος, νὰ εὐχαριστῇ καὶ καθηδύνῃ τὰς ψυχὰς τῶν ἀγωνιστῶν τῆς εὐσεβείας, κατευθύνουσα καὶ ὁδηγοῦσα αὐτὰς πρὸς τὸ βίωμα καὶ τὸ πλήρωμα τῆς ἀγάπης, εἰς μίαν ἀφειδώλευτον ἔκχυσιν τῆς ἀγάπης.

5. Ἡ ἐκ τοῦ διαβόλου πάλιν τεχνευομένη πρὸς παραπλάνησιν παρηγορία, ἐπειδὴ ὁ διάβολος συνηθίζει νὰ παρασύρῃ καὶ νὰ μετακινῇ τὴν ψυχὴν μὲ τὸν ἄνεμον τῆς πλάνης, ἐπιχειρεῖ νὰ μεταδώσῃ εἰς τὴν ψυχὴν τὴν πεῖραν τῆς πρὸς παρηγορίαν αἰσθήσεως (ὡς ἐνύπνιον κ.λ.π.), ὅταν τὸ σῶμα κοιμᾶται καὶ αἱ νοητικαὶ λειτουργίαι ἀδρανοῦν· τοῦτο δὲ διότι ὁ ὑγιὴς νοῦς, ἐν ἐγρηγόρσει εὑρισκόμενος, κινεῖται συνεχῶς περὶ τὴν μνήμην τοῦ Θεοῦ.

6. Ἐὰν λοιπὸν ὁ νοῦς διατηρῇ ζωηρὰν καὶ συνεχῆ τὴν μνήμην τοῦ Θεοῦ, ὅπως εἶπον καὶ προηγουμένως, τότε, ἀφ᾽ ἑνὸς μὲν διασκορπίζει τὸ παραπλανητικὸν ἐκεῖνο ἀεράκι τοῦ πειρασμοῦ, ποὺ ἐπιφέρει ἐξωτερικὴν καὶ φευγαλέαν εὐχαρίστησιν, ἀλλὰ καὶ ἀφ᾽ ἑτέρου ἀποδύεται μετὰ χαρᾶς εἰς τὸν ἐναντίον τοῦ διαβόλου πόλεμον, ἔχων ὡς δεύτερον ὅπλον, μετὰ τὴν Χάριν τοῦ Θεοῦ, τὸ καύχημα, ποὺ ἀπέκτησεν ἀπὸ τὴν πεῖραν τῶν, πρὸς ἀποπλάνησιν τῆς ψυχῆς, σατανικῶν παγίδων.

7. Ἐὰν ἡ ψυχὴ διὰ μιᾶς κινήσεως σαφοῦς καὶ ἀναμφισβητήτου, ἐλευθέρας δὲ ἐκ πάσης ἐπιρροῆς τῆς φαντασίας, ἐξαφθῇ ἀπὸ ἀγάπην πρὸς τὸν Θεὸν καὶ σύρῃ καὶ τὸ σῶμα εἰς τὸ βάθος τῆς πέραν πάσης περιγραφῆς ἀγάπης ἐκείνης, εἴτε τὸ σῶμα εὑρίσκεται ἐξυπνητὸν εἴτε ὑπνωμένον ὑπὸ τὴν ἐπενέργειαν ὅμως τῆς Χάριτος, διὰ τοῦ τρόπου ποὺ περιέγραψα, καὶ δὲν σκέπτεται τίποτε ἄλλο ἀπολύτως παρὰ μόνον ἐκεῖνο πρὸς τὸ ὁποῖον ἔχει κινηθῆ, τότε πρέπει νὰ γνωρίζῃ κανεὶς ὅτι εὑρίσκεται ὑπὸ τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος· τοῦτο δὲ συμβαίνει, διότι γλυκαινομένη ἡ ψυχὴ ὑπὸ τῆς ἀπεριγράπτου ἐκείνης γλυκύτητος, τίποτε ἄλλο δὲν ἠμπορεῖ νὰ σκεφθῇ, ἐπειδὴ κατεπλημμύρισεν ἀπὸ τὴν ἔντονον καὶ ἁγίαν χαράν.

8. Ἐὰν ὅμως κατὰ τὸ διάστημα τῆς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος ὁ νοῦς προσβληθῇ ὑπό τινος ἀμφιβολίας, ὡς πρὸς τὸν χαρακτῆρα τοῦ ἐνεργήματος, ἢ ὑπό τινος ρυπαρᾶς ἐννοίας, ἢ καὶ ἀκόμη χρησιμοποιῇ τὸ Ἅγιον Ὄνομα τοῦ Σωτῆρος Χριστοῦ, οὐχὶ ὅμως πρὸς ἐπίρρωσιν τῆς πρὸς τὸν Θεὸν ἀγάπης, ἀλλὰ πρὸς ἄμυναν ἐναντίον τοῦ ἐχθροῦ, τότε πρέπει νὰ ἀντιληφθῇ κανεὶς ὅτι ἡ προσγενομένη πρὸς τὴν ψυχὴν παρηγορία προέρχεται ἐκ τοῦ ἀπατεῶνος, ὅστις ἐπιθυμεῖ νὰ μοιχεύσῃ τὴν ψυχὴν μὲ τὴν ἐπίδειξιν τῆς ἀβαθοῦς καὶ ὅλως ἐξωτερικῆς χαρᾶς. Δι᾽ αὐτὸ καὶ αὐτὴ ἡ χαρά, ὑπὸ τὸ πρόσχημα τῆς ὁποίας ὁ διά-

βολος ἀποπειρᾶται νὰ ἐνοχλήσῃ τὴν ψυχήν, εἶναι τελείως ἀδρανής, μὴ διακινοῦσα τὴν ψυχὴν πρὸς τὸ ἄκρον ἐπιθυμητόν, τελείως ἀκίνητος.

9. Διότι ὅταν ὁ διάβολος ἴδῃ ὅτι ὁ νοῦς τοῦ ἀνθρώπου καυχᾶται πράγματι ἐναντίον του, ἐξ αἰτίας τῆς διὰ συνεχοῦς μνήμης τοῦ Θεοῦ αὐτοσυναισθήσεως τῆς δυνάμεώς του, τότε, ὅπως ἀνέφερα προηγουμένως, ἀποπειρᾶται νὰ διεγείρῃ τὴν ψυχὴν μὲ παρηγορίας, φαινομενικῶς καλάς, ὥστε ἡ ψυχὴ μεταβαλλομένη, κατὰ τὰς ἐσωτερικὰς αὐτῆς κλίσεις καὶ ἐπιθυμίας, ἀπὸ τὴν πλαδαρὰν καὶ ἀποχαυνοῦσαν ἐκείνην γλυκύτητα, νὰ μὴ δυνηθῇ νὰ ἀναγνωρίσῃ τὴν σύγχυσιν ποὺ ἐπιφέρει ὁ δόλιος.

10. Πῶς ὅμως θὰ γνωρίσωμεν ποῖον εἶναι τὸ πνεῦμα τῆς ἀληθείας καὶ ποῖον εἶναι τὸ πνεῦμα τῆς πλάνης; (Διότι βεβαίως εἶναι ἀδύνατον ἢ νὰ δοκιμάσῃ κανεὶς τὴν θείαν γλυκύτητα καὶ καλωσύνην διὰ τῆς ἐσωτερικῆς αἰσθήσεως τῆς ψυχῆς, ἢ νὰ πειρασθῇ αἰσθητῶς ἀπὸ τὴν πικρίαν τῶν δαιμόνων, ἐὰν δὲν πληροφορηθῇ περὶ τούτου ἐσωτερικῶς). Ἀπὸ αὐτὸ λοιπὸν θὰ διακρίνωμεν τὸ πνεῦμα τῆς ἀληθείας ἢ τῆς πλάνης, ἀπὸ τὴν ἐσωτερικὴν πληροφορίαν.

11. Εἰς περίπτωσιν ἐνεργείας Πνεύματος ἀληθείας ἡ χάρις ἔχει κατασκηνώσει εἰς τὸ βάθος τοῦ νοῦ, ἐνῷ τὰ πονηρὰ πνεύματα παραμένουν καὶ κινοῦνται γύρω ἀπὸ τὰ μέλη τῆς καρδίας, διότι οἱ δαίμονες δὲν θέλουν ποτὲ νὰ ἀναγνωρισθοῦν, κατὰ τὰς σατανικάς των ἐνεργείας, ὑπὸ τῶν ἀνθρώπων, μὴ τυχὸν ἀντιληφθῇ τοῦτο ἐπακριβῶς ὁ νοῦς καὶ ὁπλισθῇ ἐναντίον των διὰ τῆς μνήμης τοῦ Ὀνόματος τοῦ Θεοῦ.

12. Ὅταν κανεὶς ἀκούῃ αἴσθησιν νοός, ἂς μὴ ἐλπίζῃ ὅτι θὰ ἐμφανισθῇ εἰς τὸν ἄνθρωπον ἡ δόξα τοῦ Θεοῦ ὁρατῶς, ὡς αἰσθητὴ πραγματικότης· διότι λέγομεν, ὅτι, ὅταν ἡ ψυχὴ εἶναι καθαρά, αἰσθάνεται, δηλαδὴ δοκιμάζει χαρὰν καὶ ἐσωτερικὴν εὐχαρίστησιν, ὀφειλομένην εἰς μίαν ἀπερίγραπτον μυστικὴν γεῦσιν μιᾶς γλυκείας παρηγορίας ποὺ προέρχεται ἀπὸ τὴν ὑπερφυσικὴν παρουσίαν τοῦ Θεοῦ, χωρίς, βεβαίως, νὰ φαίνεται εἰς τὴν ψυχὴν τίποτε ἀπὸ τὰ πράγματα τοῦ ἀοράτου κόσμου, ἐπειδὴ τώρα ἐδῶ, εἰς τὴν παροῦσαν ζωήν, βαδίζομεν πρὸς τὴν τελειότητα διὰ τῆς Πίστεως καὶ ὄχι διὰ τῆς αἰσθητῆς ὁράσεως τῶν μορφῶν, ποὺ ἀποτελοῦν τὰ ἀντικείμενα τῆς Πίστεως, ὅπως λέγει καὶ ὁ μακάριος Ἀπόστολος Παῦλος (Β' Κορ. ε' 7).

13. Ἐὰν λοιπὸν φανερωθῇ εἰς κάποιον ἐκ τῶν ἀγωνιζομένων ἢ φῶς ἢ σχῆμα πυρίμορφον, νὰ μὴ δώσῃ ὁ ἄνθρωπος σημασίαν εἰς ἕνα τοιοῦτον ὅραμα, διότι αὐτὸ τὸ πρᾶγμα εἶναι φανερὰ ἀπάτη τοῦ ἐχθροῦ· πολλοὶ πεσόντες εἰς τὴν ἀπάτην αὐτήν, ἀπὸ ἀνοησίαν, ἐξεμακρύνθησαν ἀπὸ τὸν δρόμον τῆς ἀληθείας. Ἡμεῖς ὅμως γνωρίζομεν, ὅτι ἐφ' ὅσον ἡ ψυχὴ ἡμῶν παραμένει εἰς αὐτὸ τὸ φθαρτὸν σῶμα, εὑρισκόμεθα μακρὰν τοῦ Θεοῦ, καθ' ὅσον βεβαίως ἀφορᾷ τὴν δυνατότητα νὰ ἴδωμεν τὸν Θεὸν ἢ κάτι ἀπὸ τὰ ἐπουράνια Αὐτοῦ θαύματα δι' αἰσθητῶν ὀφθαλμῶν, διότι οἱ ὑλικοί μας ὀφθαλμοὶ δὲν ἠμποροῦν νὰ συλλάβουν πνευματικὰς καταστάσεις.

Ε΄. Ἐν τῷ Γεροντικῷ.

ΓΕΡΩΝ τις ἔμεινεν εἰς ἱερὸν εἰδώλων, καὶ ἐλθόντες οἱ δαίμονες λέγουσιν αὐτῷ· ἄπελθε ἐκ τοῦ τόπου ἡμῶν. Ὁ δὲ ἔφη· ὑμεῖς οὐκ ἔχετε τόπον. Καὶ ἤρξαντο σκορπίζειν τὰ βαΐα αὐτοῦ καθάπαξ.

2. Ὁ δὲ Γέρων ἐπέμενε συλλέγων αὐτά. Ἔπειτα ὁ δαίμων κρατήσας αὐτοῦ τὴν χεῖρα, ἔσυρεν αὐτὸν ἔξω. Καὶ ὡς ἔφθασεν εἰς τὴν θύραν ὁ Γέρων τῇ ἄλλῃ χειρὶ κατέσχε τὴν θύραν κράζων· Ἰησοῦ, βοήθει μοι· καὶ εὐθὺς ὁ δαίμων ἔφυγεν ἐάσας αὐτόν.

3. Ὁ δὲ Γέρων ἤρξατο κλαίειν, καὶ ἦλθεν αὐτῷ φωνὴ ἄνωθεν λέγουσα· τί κλαίεις; Ἀπεκρίθη ὁ Γέρων· ὅτι τολμῶσι κρατῆσαι τὸν ἄνθρωπον, καὶ οὕτω ποιῆσαι. Καὶ πάλιν ἡ φωνὴ λέγει αὐτῷ· σὺ ἠμέλησας, ὅτε γὰρ ἐζήτησάς με, εἶδες πῶς παραχρῆμα εὑρέθην σοι; Καὶ εὐχαριστήσας ὁ Γέρων, εἴχετο τῆς κατὰ Θεὸν ἐργασίας.

4. Ἀνέβαινέ ποτε ὁ Ἀββᾶς Δανιὴλ ἀπὸ Σκήτεως εἰς Τερεμοῦθιν· κατὰ δὲ τὴν ὁδόν, εἰσῆλθεν εἰς εἰδωλεῖον κοιμηθῆναι· ἦσαν δὲ ἐκεῖ σκηνώματα Ἑλλήνων παλαιά, καὶ λαβὼν ἕν, ὑπέθηκε τῇ ἑαυτοῦ κεφαλῇ ὡς ἐμβρίνιον.

5. Οἱ οὖν δαίμονες ὁρῶντες αὐτοῦ τὸ θαρσαλαῖον καὶ θέλοντες αὐτὸν πτοῆσαι, ἐφώνουν πρὸς γυναῖκα τινὰ ἐξ ὀνόματος καλοῦντες, καὶ λέγοντες· ἡ δεῖνα δεῦρο μεθ' ἡμῶν εἰς τὸ βαλανεῖον. Ἕτερος δὲ δαίμων ὑπακούσας, ἀπεκρίνατο ὡς ἐκ τοῦ σκηνώματος τοῦ ὑποκάτωθεν κειμένου τῆς τοῦ Γέροντος κεφαλῆς, καὶ ἔλεγε· ξένον ἔχω ἐπάνω μου καὶ οὐ δύναμαι ἐλθεῖν.

6. Ὁ δὲ Γέρων οὐκ ἐπτοήθη, ἀλλὰ θαῤῥῶν, ἔτυπτε τὸ σκήνωμα λέγων· Ὕπαγε εἰς τὸ σκότος, εἰ οὐ δύνασαι· καὶ ἀκούσαντες οἱ δαίμονες ἐβόησαν, φωνῇ μεγάλῃ λέγοντες· ἐνίκησας ἡμᾶς. Καὶ ἔφυγον κατησχυμμένοι.

7. Ἠρωτήθη Γέρων· διατὶ εἰς τὴν ἔρημον περιπατῶν φοβοῦμαι; Καὶ ἀπεκρίθη· ἀκμὴν ζῇς.

8. Ἠρώτησέ τις τὸν Ἀββᾶν Θεόδωρον τὸν τῆς Φέρμης λέγων· ἐὰν ἄφνω γένηταί τις πτῶσις, καὶ σὺ φοβῇ, Ἀββᾶ; Καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων· ἐὰν κολληθῇ ὁ οὐρανὸς τῇ γῇ, Θεόδωρος οὐ φοβεῖται· ἦν γὰρ δεηθεὶς τοῦ Θεοῦ, ἵνα ἀρθῇ ἀπ' αὐτοῦ ἡ δειλία, καὶ ἐπήκουσεν αὐτοῦ ὁ Θεός, διὸ καὶ ἠρώτησεν αὐτὸν ὁ ἀδελφός.

9. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· τί ποιήσω Πάτερ, ὅτι δειλιῶ τὰς νύκτας; Καὶ ἀπεκρίθη ὁ Γέρων· ἕως τότε φοβοῦνται οἱ τῆς πόλεως τοὺς βαρβάρους, ἕως οὐκ ἔχουσι τὴν τοῦ Βασιλέως βοήθειαν, ἐπὰν δὲ πληροφορηθῶσιν ὅτι ἔφθασεν ἐν τῇ πόλει, ἢ Δούξ, ἢ Στρατηλάτης, οὐκέτι φροντίζουσιν, εἰδότες ὅτι ἐκεῖνοι φροντίσουσιν ὑπὲρ αὐτῶν· ἀλλὰ κἂν ἀκούσωσιν, ὅτι ἐπέστησαν βάρβαροι, οὐ μεριμνῶσιν ἔχοντες τὸν ὑπὲρ αὐτῶν πολεμοῦντα.

10. Καὶ ἡμεῖς οὖν, ἐὰν πιστεύωμεν εἰς τὸν Θεόν, οὐ φοβούμεθα τοὺς δαίμονας· πέμπει γὰρ ἡμῖν τὴν βοήθειαν Αὐτοῦ, καὶ διασκορπίζει πάντας τοὺς ἐχθροὺς ἡμῶν.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων Ἀσκητὴς παρέμεινεν εἰς ἕνα ναὸν τῶν εἰδώλων. Μόλις ἦλθον οἱ δαίμονες καὶ τὸν εἶδον, τοῦ λέγουν:

—Φύγε γρήγορα ἀπὸ τὸν τόπον μας.

Ὁ Γέρων τοὺς εἶπε:

—Δὲν ἔχετε κανένα τόπον ἰδικόν σας.

Εἰς ἀπάντησιν οἱ δαίμονες ἤρχισαν νὰ τοῦ διασκορπίζουν ἀμέσως τὰ φοινικόκλαδα, μὲ τὰ ὁποῖα εἰργάζετο.

2. Ὁ Γέρων ἐπέμενε νὰ τὰ μαζεύῃ πάλιν· ἔπειτα ὁ δαίμων τὸν ἔπιασεν ἀπὸ τὴν χεῖρα καὶ τὸν ἔσυρε πρὸς τὰ ἔξω· μόλις ὅμως ἔφθασεν οὕτω συρόμενος εἰς τὴν θύραν, τὴν ἐκράτησε μὲ τὴν ἄλλην του χεῖρα καὶ ἤρχισε νὰ κραυγάζῃ:

—Ἰησοῦ, βοήθησέ με.

Ὅταν ὁ δαίμων ἤκουσε τὸ θεῖον Ὄνομα τὸν ἄφησε καὶ ἔφυγε.

3. Κατόπιν αὐτοῦ ὁ Γέρων ἤρχισε νὰ κλαίῃ. Τότε ἠκούσθη μία φωνὴ ἀπὸ ἐπάνω, ποὺ ἔλεγε:

—Διατί κλαίεις;

—Διότι—ἀπεκρίθη ὁ Γέρων—τολμοῦν οἱ δαίμονες νὰ κρατήσουν τὸν ἄνθρωπον καὶ νὰ κάμουν αὐτά.

Ἠκούσθη πάλιν ἐκ δευτέρου ἡ φωνὴ λέγουσα:

—Σὺ ἠμέλησας, διότι, ὅταν μὲ ἐζήτησες, εἶδες πῶς ἀμέσως εὑρέθηκα κοντά σου.

Μετὰ τοὺς ἀποκαλυπτικοὺς αὐτοὺς λόγους ηὐχαρίστησεν ὁ Γέρων τὸν Θεόν, καὶ ἠσχολεῖτο πάλιν μὲ τὴν κατὰ Θεὸν ἐργασίαν.

4. Κάποτε ὁ Ἀββᾶς Δανιὴλ ἀνέβαινε ἀπὸ τὴν Σκήτην εἰς Τερεμοῦθιν (1). Εἰς τὸν δρόμον ἐνύκτωσε καὶ ἐμπῆκε εἰς ἕνα εἰδωλεῖον, διὰ νὰ κοιμηθῇ. Μέσα εἰς ἐκεῖνο τὸ εἰδωλεῖον εὑρίσκοντο διάφοροι σκελετοὶ εἰδωλολατρῶν, ἀπὸ τὸν παλαιὸν καιρόν. Ὁ Ἀββᾶς Δανιὴλ λοιπὸν ἔλαβεν ἕνα ἐξ αὐτῶν καὶ τὸν ἐτοποθέτησε κάτω ἀπὸ τὴν κεφαλήν του, ὡσὰν μαξιλάρι.

5. Οἱ δαίμονες, θαυμάζοντες διὰ τὸ θάρρος του καὶ θέλοντες νὰ τὸν τρομάξουν, ἐφώναζον, τάχα, μίαν γυναῖκα μὲ τὸ ὄνομά της.

—Ἔλα—ἔλεγον—ἡ τάδε ,νὰ πᾶμε μαζὶ εἰς τὸ λουτρόν.

Τότε ἕνας ἄλλος δαίμων ἀπήντησεν, ὡς νὰ εὑρίσκετο μέσα εἰς τὸ κρανίον, ποὺ ἦτο κάτω ἀπὸ τὴν κεφαλὴν τοῦ Γέροντος:

—Ἔχω ἕνα ξένον ἀπὸ ἐπάνω μου καὶ δὲν ἠμπορῶ νὰ ἔλθω.

6. Ὁ Γέρων ὅμως δὲν ἐφοβήθη, ἀλλὰ μὲ θάρρος ἐκτυποῦσε τὸν σκελετόν, λέγων πρὸς τὸν ἀόρατον δαίμονα:

—Πήγαινε εἰς τὸ σκοτάδι, ἐφ' ὅσον δὲν ἠμπορεῖς.

Μόλις ἤκουσαν τὴν ἀπάντησιν αὐτὴν οἱ δαίμονες, ἐκραύγασαν μὲ μεγάλην φωνήν:

—Μᾶς ἐνίκησες.

Κατόπιν αὐτῶν ἔφυγαν ἐντροπιασμένοι.

---

1) Τερεμοῦθιν· πόλις τῆς Ἀφρικῆς. Πρόκειται πιθανῶς περὶ τῆς νῦν καλουμένης Ντούγκας, μεσογείου πόλεως τοῦ Ἀλγερίου.

7. Εἷς Γέροντα ὑπέβαλον κάποτε τὴν ἐρώτησιν:

—Διατί φοβοῦμαι, ὅταν περιπατῶ εἰς τὴν ἔρημον;

—Διότι ἀκόμη ζῇς—ἀπήντησεν ὁ Γέρων. (Ἐὰν δηλαδὴ ἐθεώρῃς τὸν ἑαυτόν σου ὡς νεκρόν, δὲν θὰ ἐφοβῆσο).

8. Ἕνας Μοναχὸς ἠρώτησε τὸν Ἀββᾶν Θεόδωρον τῆς Φέρμης.

—Ἐὰν ἔξαφνα ἀκουσθῇ θόρυβος ἀπὸ ἀπροσδόκητον πτῶσιν σώματος, σύ, Ἀββᾶ, θὰ φοβηθῇς;

Εἰς τὴν ἐρώτησιν αὐτὴν ἀπήντησεν ὁ Γέρων:

—Καὶ ἐὰν ἀκόμη συγκρουσθῇ ὁ οὐρανὸς μὲ τὴν γῆν, ὁ Θεόδωρος δὲν φοβεῖται.

Πράγματι δὲ ὁ Ἀββᾶς Θεόδωρος εἶχε παρακαλέσει μετὰ θερμότητος τὸν Θεὸν νὰ πάρῃ ἀπ' ἐπάνω του τὴν δειλίαν καὶ ὁ Θεὸς τὸν ἤκουσε. Δι' αὐτὸ καὶ τὸν ἠρώτησεν ὁ ἀδελφός.

9. Ἕνας ἀδελφὸς προσῆλθεν εἰς ἕνα Γέροντα καὶ τοῦ λέγει:


—Πάτερ μου, τί νὰ κάμω, διότι δειλιάζω κατὰ τὰς νύκτας;

Εἰς τὴν ἐρώτησιν αὐτὴν ὁ Γέρων ἀπήντησεν:

—Οἱ κάτοικοι τῆς πόλεως φοβοῦνται τὰς ἐπιδρομὰς τῶν βαρβάρων, ἐφ' ὅσον δὲν ἔχουν ἐξασφαλίσει τὴν βοήθειαν τοῦ βασιλέως· μόλις ὅμως πληροφορηθοῦν, ὅτι ἔφθασεν εἰς τὴν πόλιν των ἢ Δοὺξ ἢ Στρατηλάτης, διὰ νὰ τοὺς προστατεύσῃ, δὲν φοβοῦνται πλέον διὰ τὴν ἀσφάλειάν των, διότι γνωρίζουν, ὅτι ἐκεῖνοι φροντίζουν δι' αὐτούς. Ἀλλὰ καὶ ἂν ἀκούσωσιν, ὅτι οἱ βάρβαροι ἐπέδραμον, δὲν ἀνησυχοῦν, διότι ἔχουν προστάτην τὸν πολεμοῦντα ὑπὲρ αὐτῶν.

10. Καὶ ἡμεῖς λοιπόν, ἐὰν πιστεύωμεν εἰς τὸν Θεόν, δὲν φοβούμεθα τοὺς δαίμονας, διότι ὁ Θεὸς μᾶς στέλλει τὴν βοήθειάν του καὶ διασκορπίζει ὅλους τοὺς ἐχθρούς μας.





ΥΠΟΘΕΣΙΣ Κ'

Ὅτι πολυτρόπως δείκνυται τὰ ἐνύπνια, διὸ καὶ τὸ ἀπιστεῖν αὐτοῖς ἀσφαλέστερον, καὶ ὅτι οὐδὲν τῶν μελλόντων οἱ δαίμονες οἴδασι, κἂν προσποιῶνται εἰδέναι τινά, καὶ προλέγουσι στοχαζόμενοι.

Κατὰ πολλοὺς τρόπους παρουσιάζονται τὰ ὄνειρα, διὰ τοῦτο ἀσφαλέστερον εἶναι νὰ μὴ δίδωμεν πίστιν εἰς αὐτά, καὶ ὅτι οὐδὲν ἀπὸ τὰ μέλλοντα γνωρίζουν οἱ δαίμονες, ἔστω καὶ ἂν προσποιοῦνται ὅτι γνωρίζουν μερικὰ καὶ τὰ προλέγουν δῆθεν ἀπὸ ἰδικήν των γνῶσιν.



Α'. Γρηγορίου τοῦ Διαλόγου.

Πέτρος



ΠΑΡΑΚΑΛΩ σε πληροφόρησόν με, εἰ τὰ ἐνύπνια παραφυλάττεσθαι δεῖ.


Γρηγόριος

2. Ἰστέον ὅτι κατὰ ἓξ τρόπους ἅπτονται τῆς ψυχῆς αἱ τῶν ἐνυπνίων εἰκόνες· ποτὲ γὰρ τῆς κοιλίας πεπληρωμένης ἢ καὶ ἀδυνατούσης τὰ ἐνύπνια γίνονται, ποτὲ διὰ τῶν λογισμῶν, ποτὲ δὲ δι' ἐμπαιγμοῦ, ποτὲ δὲ πάλιν διὰ τῶν λογισμῶν ὁμοῦ καὶ ἐμπαιγμοῦ, ἄλλοτε δι' ἀποκαλύψεως· καὶ τὰ δύο τὰ πρότερα, πάντες διὰ πείρας γινώσκομεν ὑπεζεῦχθαι ἡμῖν, τὰ δὲ τέσσαρα καὶ ἐν ταῖς δέλτοις τῆς θείας Γραφῆς ἀναγεγραμμένα εὑρίσκομεν.

3. Τὰ γὰρ ἐνύπνια, εἰ ἐν ἀσφαλείᾳ παρὰ τοῦ κρυπτοῦ ἐχθροῦ εὑρίσκετο, οὐκ ἂν ἀνὴρ σοφὸς τοῦτο ἐδήλωσε λέγων, ὅτι πολλοὺς τὰ ἐνύπνια πλανηθῆναι πεποιήκασι, καὶ ἀπώλοντο ἐλπίζοντες ἐπ' αὐτοῖς· ὡσαύτως παραγγέλλει, μήτε μαντεύεσθαι, μήτε παραφυλάττειν ἐνύπνια· εἰδὼς δὲ ὁ αὐτὸς σοφὸς ὅτι ποτὲ καὶ ἐκ τῶν διαλογισμῶν ὁμοῦ καὶ ἐμπαιγμοῦ προέρχονται τὰ ἐνύπνια, διδάσκει λέγων, πολλαὶ μέριμναι ἀκολουθοῦσι τοῖς ἐνυπνίοις.

4. Ὅτι δέ ποτε καὶ δι' ἀποκαλύψεως τὰ ἐνύπνια γίνονται, μάρτυς ὁ Ἰωσήφ, ὃς ἑαυτὸν προβιβασθέντα τῶν ἀδελφῶν αὐτοῦ δι' ἐνυπνίου θεασάμενος, τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἔργων ἐγνώρισε. Καὶ τῷ Ἰωσὴφ δέ, τῷ τῆς Παρθένου Μνηστῆρι, δι' ἐνυπνίων ὁ Ἄγγελος ἐχρημάτισεν ἐπάραι τὸ παιδίον, καὶ φυγεῖν εἰς Αἴγυπτον.

5. Ἔτι δὲ ὅτι καὶ διὰ τῶν λογισμῶν ὁμοῦ καὶ δι' ἀποκαλύψεως τὰ ἐνύπνια προέρχονται, διδάσκει Δανιὴλ ὁ Προφήτης· τὴν γὰρ τοῦ Ναβουχοδονόσορ ὅρασιν ἑρμηνεύων, ἀπὸ τῆς ῥίζης τοῦ διαλογισμοῦ ἤρξατο λέγων· σὺ, βασιλεῦ, ἐπὶ τῆς κοίτης σου ἤρξω διαλογίζεσθαι τί μέλλει ἔσεσθαι· εἶτα ἐπάγει· καὶ ὁ ἀποκαλύπτων μυστήρια ἐφανέρωσέ σοι τὰ μέλλοντα. Καὶ μετ' ὀλίγον· ἰδοὺ ἐθεώρεις ὅτι εἰκὼν ἵστατο ἐναντίον σου, καὶ τὰ λοιπὰ τοῦ ὀνείρου· καὶ τὸ τέλος ἀσφαλῶς ὁ



(Βλ. σελ. 213—236)

Δανιὴλ ἀναγγέλλει, καὶ ἐκ ποίου λογισμοῦ καὶ ἀποκαλύψεως ὁ ὄνειρος ἐγενήθη.

6. Ἐπεὶ οὖν τοσούτοις εἴδεσι πραγμάτων τὰ ὀνείρατα ἀμφιβάλλονται, οὐκ ὀφείλει τις αὐτοῖς πιστεύειν, ἐν τῷ μὴ διαγινώσκειν εὐκόλως ἐκ ποίας ὑποβολῆς ἔρχονται· οἱ δὲ Ἅγιοι ἄνδρες μεταξὺ τῶν ἐμπαιγμῶν καὶ τῶν ἀποκαλύψεων αὐτὰς τὰς τῶν ὁράσεων εἰκόνας, ἐνδοτάτῃ τινὶ διακρίσει, δι' ἧς ἐπιγινώσκουσι, τί μὲν παρὰ τοῦ ἀγαθοῦ πνεύματος λαμβάνουσι, τὶ δὲ παρὰ τοῦ πλανῶντος ὑπομένουσιν.

7. Ἐὰν γὰρ ὁ νοῦς ἐν ἀσφαλείᾳ περὶ τῶν τοιούτων διαγινώσκῃ, ἐν πολλαῖς αὐτὸν ἀπάταις τὸ παραδειγματίζον πνεῦμα οὐ καταποντίσει· πολλάκις γὰρ αὐτῷ ἀληθινὰ πλεῖστα προλέγει, ἵνα τὰ ἔσχατα δυνηθῇ ἐκ μιᾶς οἱασοῦν πλάνης τὴν ψυχὴν παγιδεῦσαι.

8. Τινὶ γὰρ τῶν ἡμετέρων, νεωστὶ τοιοῦτον συνέβη, σφόδρα τοῖς ἐνυπνίοις προσέχοντι· δι' ὀνείρου γὰρ ἐπιμήκη μέτρα ζωῆς ὑπεσχέθησαν· πολλὰ οὖν χρήματα διὰ τὸ τῆς ζωῆς μῆκος συνάξας, αἰφνίδιον τῷ θανάτῳ ἀπήχθη, τὰ χρήματα σῶα καταλείψας ἐνταῦθα, καὶ μηδὲν ἐξ αὐτῶν δι' ἔργου ἀγαθοῦ μεθ' ἑαυτοῦ κομισάμενος.

Ἑρμηνεία

Πέτρος

ΣΕ παρακαλῶ νὰ μὲ διδάξῃς, ἐὰν πρέπει νὰ δίδωμεν σημασίαν εἰς τὰ ὄνειρα.

Γρηγόριος

2. Πρέπει νὰ γνωρίζωμεν, ὅτι αἱ εἰκόνες τῶν ὀνείρων ἀπὸ ἓξ αἰτίας ἐμφανίζονται εἰς τὴν ψυχήν: α΄) τὰ ὄνειρα παράγονται, ὅταν τὸ στομάχι εἶναι γεμᾶτο· β΄) ὅταν τοῦτο εἶναι ἄδειο· γ΄) αἱ διάφοροι σκέψεις καὶ οἱ διάφοροι λογισμοὶ μεταβάλλονται, ὅταν κοιμώμεθα, εἰς ὄνειρα· δ΄) εἰς ἄλλας περιπτώσεις ὁ διάβολος μᾶς ἐμπαίζει διὰ τῶν ὀνείρων· ε΄) συνήθως τὰ ὄνειρα ὀφείλονται καὶ εἰς ἕνα συνδυασμὸν τῶν σκέψεων καὶ τῶν λογισμῶν μας μὲ τὸν ἐμπαιγμὸν τοῦ διαβόλου· στ΄) διὰ τῶν ὀνείρων ὁ Θεὸς ἀποκαλύπτει τὰς βουλάς Του εἰς τὸν ἄνθρωπον. Αἱ δύο πρῶται αἰτίαι τῶν νυκτερινῶν παραστάσεων εἰς τὰ ὄνειρα, ἐκ πείρας γνωρίζομεν ὅλοι οἱ ἄνθρωποι, ὅτι προέρχονται ἀπὸ ἡμᾶς· διὰ τὰς ἑπομένας τέσσαρας αἰτίας ὁμιλοῦν καὶ μᾶς πληροφοροῦν αἱ Ἅγιαι Γραφαί.

3. Δὲν πρέπει λοιπὸν νὰ στηριζώμεθα εἰς τὰς παραστάσεις τῶν ὀνείρων καὶ νὰ ἐξάγωμεν συμπεράσματα ἀπὸ αὐτά, διότι ἐὰν τὰ ὄνειρα ἦσαν ἐξησφαλισμένα ἀπὸ κινδύνους παγιδεύσεως τοῦ ἀνθρώπου ὑπὸ τοῦ διαβόλου, δὲν θὰ ἐφιστοῦσε τὴν προσοχήν μας ὁ σοφὸς Σειρὰχ λέγων· «πολλοὺς ἐπλάνησε τὰ ἐνύπνια, καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτοῖς» (Σειρὰχ λα΄ 7). Ἐπίσης ὁ ἴδιος αὐτὸς σοφὸς μᾶς παραγγέλλει, οὔτε νὰ μαντευώμεθα, ἀλλ' οὔτε καὶ νὰ προσέχωμεν εἰς τὰ ὄνειρα «μαντεῖαι καὶ οἰωνισμοὶ καὶ ἐνύπνια μάταιά ἐστι» (Σειρὰχ λα΄ 5). Γνωρίζων δὲ ὁ αὐτὸς σοφὸς (βλ. Σοφ. Σειρὰχ κεφ. λα΄), περὶ τοῦ ὁποίου ὁμιλοῦμεν, ὅτι τὰ ὄνειρα προέρχονται συνήθως ἀπὸ ἀπατηλὴν καὶ

ἐμπαικτικὴν πρόθεσιν τοῦ διαβόλου, μᾶς διδάσκει, ὅτι πολλαὶ φροντίδες ἀκολουθοῦν εἰς τὰ ὄνειρα (δηλαδὴ ὁ ἄνθρωπος ἐν τῇ προσπαθείᾳ του νὰ ἐξηγήσῃ τὰ ὄνειρα ἀποσπᾶται ἀπὸ τὸν βασικὸν σκοπὸν τῆς σωτηρίας τῆς ψυχῆς του καὶ γίνεται ὄργανον τοῦ ἐχθροῦ).

4. Ἀλλ' ὅτι πάλιν τὰ ὄνειρα ὀφείλονται καὶ εἰς ἀποκαλυπτικὴν πρὸς τὸν ἄνθρωπον ἐνέργειαν τοῦ Θεοῦ, τοῦτο μαρτυρεῖ καὶ δηλώνει ἡ προσωπικὴ ἱστορία τοῦ Ἰωσήφ. Οὗτος δηλαδή, ὡς γνωστόν, εἶδεν εἰς τὸν ὕπνον του, ὅτι θὰ ἐγίνετο κύριος τῶν ἀδελφῶν του (βλ. Γεν. λζ' 5—8). Τὸ ὄνειρον αὐτὸ δὲν ἤργησε νὰ ἐπαληθεύσῃ διὰ τῶν ὅσων ἐπηκολούθησαν. Ἀλλὰ καὶ τὸν Ἰωσήφ, τὸν Μνηστῆρα τῆς Παρθένου, δι' ὀνείρων ἐπληροφόρησεν ὁ Ἄγγελος νὰ παραλάβῃ τὸ θεῖον Βρέφος καὶ νὰ φύγουν εἰς τὴν Αἴγυπτον (βλ. Ματθ. β' 13).

5. Ἀκόμη εἶναι δυνατὸν τὰ ὄνειρα νὰ προέρχωνται καὶ ἀπὸ προσωπικὰς ἡμῶν σκέψεις, ἀλλὰ καὶ ἀπὸ ἀποκαλυπτικὴν ἐνέργειαν τοῦ Θεοῦ πρὸς ἡμᾶς. Τοῦτο διδάσκει ἐναργέστατα ὁ Προφήτης Δανιήλ, κατὰ τὴν στιγμήν, ποὺ ἐξηγεῖ τὸ ὄνειρον τοῦ Ναβουχοδονόσορ. Λέγει, ὡς γνωστόν, ὁ Προφήτης Δανιὴλ εἰς τὸν Ναβουχοδονόσορ: «Σέ, βασιλεῦ, μόλις ἔπεσες εἰς τὸ κρεββάτι σου, διὰ νὰ κοιμηθῇς, ἤρχισε νὰ σὲ ἀπασχολῇ ἡ σκέψις, τί θὰ γίνῃ εἰς τὸ μέλλον». Καὶ προχωρεῖ ὁ Δανιήλ· «καὶ Αὐτός, ποὺ ἀποκαλύπτει μυστήρια, σοῦ ἐφανέρωσε τὰ μέλλοντα». Ἀμέσως δέ, μετ' ὀλίγον, προσθέτει· «Νά! ἔβλεπες μίαν εἰκόνα νὰ στέκῃ ἐνώπιόν σου», καὶ προχωρεῖ ἐξιστορῶν λεπτομερῶς τὸ ὄνειρον τοῦ βασιλέως. Ἐν συμπεράσματι, ὁ Δανιὴλ ἐξηγεῖ καὶ τὸν σκοπὸν τοῦ ὀνείρου, καὶ τὴν σκέψιν τοῦ βασιλέως, ἀλλὰ καὶ τὴν ἀποκαλυπτικὴν ἐνέργειαν τοῦ Θεοῦ, ἀπὸ τὰ ὁποῖα παρήχθη ἡ παράστασις τοῦ ὀνείρου (βλ. Δανιὴλ β' 27—45).

6. Ἐπειδὴ λοιπὸν τὰ ὄνειρα γεννοῦν ἀμφιβολίας, ἐξ ἀφορμῆς τῶν τόσων διαφορετικῶν, μεταξύ των, αἰτίων, ποὺ τὰ παράγουν εἰς τὴν ψυχήν μας, δι' αὐτὸ δὲν πρέπει κανεὶς νὰ τὰ πιστεύῃ, διότι δὲν εἶναι εὔκολον νὰ ἐξακριβώσῃ ἀπὸ ποῦ προέρχονται. Οἱ Ἅγιοι ἄνδρες ὅμως κατορθώνουν νὰ διακρίνουν τὰς παραστάσεις τῶν ὀνείρων, ἐὰν προέρχονται ἀπὸ ἐμπαιγμὸν τοῦ διαβόλου ἢ ἀπὸ ἀποκάλυψιν Θεοῦ, ἀπὸ κάποιαν ἱκανότητα διακρίσεως, διὰ τῆς ὁποίας ξεχωρίζουν τὶ λαμβάνουν παρὰ τοῦ ἀγαθοῦ πνεύματος καὶ τὶ ὑποφέρουν ἐκ μέρους τοῦ πλανῶντος.

7. Διότι, ἐὰν ὁ νοῦς ἐξετάζῃ μετὰ προσοχῆς τὴν προέλευσιν τῶν ὀνείρων, τὸ πνεῦμα ποὺ πειράζει καὶ παραπλανᾷ τὸν ἄνθρωπον δὲν θὰ δυνηθῇ νὰ τὸν καταβυθίσῃ εἰς πολλὰς ἀπάτας, δεδομένου, ὅτι αὐτὸ τὸ πνεῦμα προλέγει συνήθως εἰς τὸν ἄνθρωπον πολλὰ πράγματα, ποὺ ἐπαληθεύουν μόνον καὶ μόνον διὰ νὰ δυνηθῇ, εἰς τὸ τέλος νὰ παγιδεύσῃ ὁριστικῶς μὲ μίαν ὁποιανδήποτε πλάνην τὸν ἄνθρωπον.

8. Τώρα τελευταίως τοιοῦτόν τι συνέβη εἰς κάποιον ἰδικόν μας, ποὺ ἔδιδε μεγάλην προσοχὴν εἰς τὰ ὄνειρα. Εἶδε λοιπὸν αὐτὸς εἰς τὸ

ὄνειρόν του, ὅτι, δῆθεν, θὰ ζήσῃ πολλὰ χρόνια· πρὸς τοῦτο συνεκέντρωσε πολλὰ χρήματα, διὰ νὰ τοῦ φθάσουν μέχρι τῶν γηρατείων του. Ἔξαφνα ὅμως ἀποθνήσκει μὲ αἰφνίδιον θάνατον, ἀφήσας ἐδῶ εἰς τὴν γῆν ἀνέπαφα τὰ χρήματά του, καὶ χωρὶς νὰ πάρῃ μαζί του, ὡς ἐφόδιον, διὰ τὴν ἄλλην ζωήν, καμμίαν καλὴν πρᾶξιν ἀπὸ τὰ χρήματα αὐτὰ (π.χ. ἐλεημοσύνην κ.τ.λ.).

Β' Ἐν τῷ βίῳ τοῦ Μεγάλου Ἀντωνίου.

ΕΛΕΓΕΝ ὁ Μέγας Ἀντώνιος πρὸς τοὺς ἐλθόντας πρὸς αὐτὸν Μοναχούς, ὅτι οὐ δεῖ τοῖς δαίμοσι πιστεύειν, ἂν καὶ προλέγειν τινὰ ὑποκρίνωνται. Πρὸ ἡμερῶν γὰρ πολλάκις λέγουσι τοὺς καθ' ἡμέραν ἀπαντῶντας ἀδελφούς, καὶ ἔρχονται μὲν ἐκεῖνοι, ποιοῦσι δὲ τοῦτο οὗτοι, οὐ κηδόμενοι τῶν ἀκουόντων, ἀλλ' ἵνα πιστεύειν αὐτοῖς τούτους πείσωσι, καὶ τότε λοιπὸν ὑποχειρίους ἔχοντες ἀπολέσωσιν.

2. Ὅθεν οὐ δεῖ προσέχειν αὐτοῖς, ἀλλὰ καὶ λέγοντας ἀνατρέπειν χρή, ὅτι μὴ χρείαν ἔχομεν ἡμεῖς τούτων· τὶ γὰρ θαυμαστὸν εἰ οἱ δαίμονες, ἡμῶν μᾶλλον τοὺς ἀρξαμένους τῶν ἀνθρώπων ὁδεύειν ἑωρακότες, προλαμβάνουσι τῷ δρόμῳ καὶ ἀπαγγέλλουσι; τοῦτο καὶ ἵππῳ τις ἐπικαθήμενος ποιῆσαι δύναται, προοδεύων τοῦ ὁδεύοντος τοῖς ποσίν.

3. Ὥστε οὐ χρὴ θαυμάζειν αὐτοὺς ἐν τούτῳ, οὐδὲν γὰρ τῶν μὴ γινομένων προγινώσκουσι πρὶν γενέσεως αὐτῶν· οὗτοι δὲ ἃ βλέπουσιν, ὡς κλέπται προτρέχοντες ἀπαγγέλλουσι.

4. Τοῦτο καὶ πᾶς τις ταχυδρόμος ποιῆσαι δύναται, καὶ προδραμεῖν τὸν βραδύνοντα. Ὃ δὲ λέγω τοιοῦτον ἐστίν, ἄν τις μὴ ἄρξηται περιπατεῖν, οὐκ ἴσασιν εἰ περιπατήσει, περιπατοῦντα δὲ τοῦτον ἑωρακότες, τρέχουσι, καὶ πρὶν ἐλθεῖν αὐτὸν ἀπαγγέλλουσι, καὶ οὕτω συμβαίνει τοῦτον μεθ' ἡμέρας ἐλθεῖν.

5. Πολλάκις δὲ τοῦ περιπατοῦντος ὑποστρέψαντος, ἢ καὶ τῆς Προνοίας μεταξύ τι βουλευσαμένης, ἐψεύσαντο οἱ δαίμονες, καὶ ἠπατήθησαν οἱ προσεσχηκότες αὐτοῖς. Οὕτω συνέστη τὰ τῶν Ἑλλήνων μαντεῖα, καὶ οὕτως ἐπλανήθησαν παρὰ τῶν δαιμόνων τὸ πρίν. Νῦν δὲ πέπαυται αὐτῶν ἡ πλάνη τελείως. Ἦλθε γὰρ ὁ Κύριος ὁ σὺν αὐτῇ τῇ πανουργίᾳ αὐτῶν καὶ αὐτοὺς καταργήσας.

6. Οὐδὲν ἄρα γινώσκουσιν ἀφ' ἑαυτῶν, ἀλλ' ὡς κλέπται, ἃ παρ' ἄλλοις ὁρῶσι ταῦτα διαβάλλουσι, καὶ μᾶλλον στοχασταί εἰσιν, ἢ προγνῶσται· διὸ κἂν ἀληθῆ ποτε τοιαῦτα λέγουσι, μηδὲ οὕτως αὐτοὺς θαυμαζέτω τις, ἢ ὅλως προσεχέτω. Καὶ γὰρ καὶ ἰατροὶ πεῖραν ἔχοντες τῶν νοσημάτων, ἐπειδὰν θεωρήσωσιν ἐν ἄλλοις τὴν αὐτὴν νόσον, πολλάκις στοχαζόμενοι ἀπὸ τῆς συνηθείας προλέγουσι.

7. Καὶ κυβερνῆται καὶ γεωργοὶ πάλιν ἀπὸ τῆς συνηθείας βλέποντες τὴν τοῦ ἀέρος κατάστασιν, προλέγουσι χειμῶνα, ἢ εὔδιον ἀέρα ἔσεσθαι, καὶ οὐ διὰ τοῦτο ἐκ θείας ἐπιπνοίας ἄν τις εἴποι προλέγειν αὐτούς, ἀλλὰ ἀπὸ τῆς πείρας καὶ τῆς συνηθείας.

8. Ἄλλωστε, τί χρησιμεύει τοῖς ἀκούουσι τὸ εἰδέναι παρὰ τούτων πρὸ ἡμερῶν τὰ ἐρχόμενα; ἢ ποία σπουδὴ τὰ τοιαῦτα γινώσκειν; οὐ γὰρ ἀρετῆς ἐστι τοῦτο ποιητικόν, οὐδὲ ἤθους ἀγαθοῦ γνώρισμα πάντως. Οὐδεὶς γὰρ ἡμῶν μακαρίζεται ὅτι τοῦτο μεμάθηκε καὶ ἔγνω, ἀλλ' ἐν τούτοις ἕκαστος ἔχει τὴν κρίσιν εἰ τὴν πίστιν τετήρηκε, καὶ τὰς ἐντολὰς γνησίως ἐφύλαξεν. Ὅθεν οὐ δεῖ περὶ πολλοῦ ταῦτα ποιεῖσθαι, οὐδὲ διὰ τοῦτο ποιεῖν, ἵνα προγινώσκωμεν, οὐδὲ τοῦτον τῆς ἀσκήσεως ἀπαιτεῖν μισθόν. Εὔχεσθαι δὲ μᾶλλον, ἵνα συνεργὸς ἡμῖν εἰς τὴν κατὰ τοῦ διαβόλου νίκην ὁ Κύριος γένηται.

9. Καθαρεύωμεν οὖν τῇ διανοίᾳ καὶ πιστεύω, ὅτι καθαρεύουσα ἡ ψυχὴ

πάντοθεν, καὶ κατὰ φύσιν ἑστῶσα, δύναται, διορατικὴ γενομένη, πλείονα καὶ μακρότερα βλέπειν τῶν δαιμόνων, ἔχουσα τὸν ἀποκαλύπτοντα Κύριον αὐτῇ, οἵα ἦν ἡ τοῦ Ἐλισαίου, βλέπουσα τὰ κατὰ Γιεζί, καὶ ὁρῶσα τὰς περὶ αὐτὴν ἑστώσας δυνάμεις.

10. Οἱ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ἐμφαινόμενοι τῇ ψυχῇ ὄνειροι, ὑγιαινούσης ψυχῆς πως εἰσὶν ἀπλανεῖς κατήγοροι· διόπερ οὔτε ἀπὸ ἑτέρου σχήματος εἰς ἕτερον σχῆμα μεταβάλλονται, οὔτε μὴν πτοοῦσι τὴν αἴσθησιν, οὔτε γελῶσιν ἢ στυγνάζουσιν ἀθρόως, ἀλλὰ μετὰ πάσης ἐπιεικείας τῇ ψυχῇ προσεγγίζουσι, πνευματικῆς αὐτὴν θυμηδίας καταγεμίζοντες· ὅθεν καὶ μετὰ τὸ διϋπνισθῆναι τὸ σῶμα, πολλῷ τῷ πόθῳ ζητεῖ ἡ ψυχὴ τὴν χαρὰν τοῦ ὀνείρου.

11. Αἱ δὲ τῶν δαιμόνων φαντασίαι, διὰ πάντων ἐναντίως ἔχουσιν· οὔτε γὰρ ἐν τῷ αὐτῷ μένουσι σχήματι, οὔτε μορφὴν ἐπὶ πολὺ ἀτάραχον ἐπιδείκνυνται· ὃ γὰρ ἐκ προαιρέσεως μὲν οὐκ ἔχουσιν ἐκ δὲ τῆς οἰκείας κεχρῶνται μόνον πλάνης, ἀρκεῖν αὐτοῖς ἐπιπλεῖστον οὐ δύνανται, ἀλλὰ καὶ μεγάλα λέγουσι, καὶ ἀπειλοῦσι πλεῖστα, εἰς στρατιωτῶν εἶδος πολλάκις ἑαυτοὺς σχηματίζοντες, ποτὲ δὲ καὶ προσψάλλουσι μετὰ κραυγῆς τῇ ψυχῇ. Ὅθεν ἐπιγινώσκων αὐτοὺς ὁ νοῦς, ὅτε καθαρεύει, πεφαντασμένως διϋπνίζει τὸ σῶμα.

12. Ἔστι δὲ ὅτε καὶ χαίρει ὡς συνεθισθεὶς ἐπιγνῶναι τὸν δόλον αὐτῶν, διόπερ ἐν αὐτῷ τῷ ὀνείρῳ πλειστάκις ἐλέγχων αὐτούς, εἰς ὀργὴν μεγάλην κινεῖ· πλὴν ἔστιν ὅτε καὶ τὰ χρηστὰ ἐνύπνια χαρὰν μὲν οὐ φέρουσι τῇ ψυχῇ, λύπην δὲ αὐτῇ ἡδεῖαν ἐμποιοῦσι καὶ δάκρυον· τοῦτο δὲ γίνεται ἐπὶ τῶν εἰς πολλὴν ταπεινοφροσύνην προκοπτόντων.

13. Εἰρήκαμεν μὲν ἡμεῖς, ὡς παρὰ τῶν ἐν πείρᾳ γεγονότων ἠκούσαμεν, καλῶν τε καὶ φαύλων διάκρισιν· ἀρκείτω δὲ ἡμῖν πρὸς ἀρετὴν μεγάλην, τὸ μηδὲ μιᾷ ὅλως πείθεσθαι φαντασίᾳ, οἱ γὰρ ὄνειροι, οὐδὲν ἕτερον ὡς ἐπὶ τὸ πλεῖστον εἰσίν, ἢ εἴδωλα λογισμῶν πλανωμένων, ἢ πάλιν, ὡς ἔφην, δαιμόνων ἐμπαίγματα.

14. Ὁπότε οὖν κἂν ἐκ τῆς τοῦ Θεοῦ ἀγαθότητος καταπεμφθῇ ἡμῖν ὅραμα, καὶ μὴ αὐτὸ καταδεξώμεθα, οὐκ ἂν ἡμῖν ὀργισθείη διὰ τοῦτο ὁ πολυπόθητος ἡμῶν Κύριος Ἰησοῦς· οἶδε γὰρ ὅτι διὰ τοὺς δόλους τῶν δαιμόνων τοῦτο οὐ κατεδεξάμεθα· ἡ μὲν γὰρ προειρημένη διάκρισις ἀκριβής ἐστι· συμβαίνει δέ, ἐκ συναρπαγῆς τινος, ἀνεπαισθήτως ῥυπωθεῖσαν τὴν ψυχήν, οὗπερ ἐκτὸς οὐδείς, ὡς οἶμαι, εὑρίσκεται, ἀπολέσαι τὸ ἴχνος τῆς ἀκριβοῦς διαγνώσεως, καὶ πιστεῦσαι τοῖς καλοῖς, ὡς μὴ καλοῖς.

15. Ἤτω πρὸς ὑπόδειγμα ἡμῖν τοῦ πράγματος δοῦλος ὑπὸ δεσπότου νύκτωρ, καὶ μετὰ πολλὴν ἀποδημίαν, πρὸ τῶν περιβόλων τῆς οἰκίας καλούμενος, ᾧ τινι τὴν ἄνοιξιν τῶν θυρῶν διόλου ὁ οἰκέτης ἠρνήσατο, ἐδεδίει γὰρ μὴ ὁμοιότης αὐτὸν φωνῆς συναρπάσασα, προδότην αὐτὸν παρασκευάσῃ γενέσθαι, ὧν περ παρ' αὐτοῦ πεπίστευται πραγμάτων.

16. Ὧ τινι ἡμέρας γενομένης, οὐ μόνον οὐκ ὠργίσθη ὁ κύριος αὐτοῦ, ἀλλὰ καὶ πολλῶν ἐπαίνων ἠξίωσεν αὐτόν, ὅτι καὶ τὴν τοῦ δεσπότου φωνὴν πλάνην εἶναι ἐνόμισε μὴ θέλων τι τῶν αὐτοῦ ἀπολέσαι πραγμάτων.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Ἀντώνιος ἔλεγε πρὸς τοὺς ἐπισκεφθέντας αὐτὸν Μοναχούς:

—Τέκνα μου, δὲν πρέπει νὰ πιστεύητε ὅσα λέγουσιν οἱ δαίμονες, ἔστω καὶ ἐὰν ὑποκρίνωνται, ὅτι προλέγουν μερικά. Πολλὰς φοράς, ἐπὶ παραδείγματι, προαναγγέλλουν τὴν ἄφιξιν ἐρχομένων ἀδελ-

φῶν, προσδιορίζοντες τὴν ἡμέραν τῆς ἀφίξεως. Καὶ πράγματι ἔρχονται οἱ ἀδελφοί· πλὴν ὅμως οἱ δαίμονες προλέγουν αὐτὰ τὰ πράγματα, ὄχι διότι ἐνδιαφέρονται δι' αὐτούς, ποὺ τοὺς ἀκούουν, ἀλλὰ διὰ νὰ πείσουν τοὺς ἀκούοντας νὰ τρέφουν πρὸς αὐτοὺς ἐμπιστοσύνην, καὶ ἀφοῦ τοιουτοτρόπως τοὺς καταστήσουν ὑποχειρίους, νὰ τοὺς καταστρέψουν.

2. Δι' αὐτὸν τὸν λόγον δὲν πρέπει νὰ προσέχωμεν εἰς αὐτούς· ὄχι δὲ μόνον αὐτό, ἀλλὰ καὶ ὅταν μᾶς λέγουν κάτι, διὰ τὸ μέλλον, ἐπιβάλλεται νὰ τοὺς ἀντικρούωμεν καὶ νὰ τοὺς ἀνατρέπωμεν, διότι δὲν ἔχομεν τὴν ἀνάγκην των. Τί τὸ ἀξιοθαύμαστον δηλαδή, ἐὰν οἱ δαίμονες, ἐπειδὴ ἔχουν ἴδει τοὺς ἀνθρώπους, ὅταν ἀρχίσουν νὰ βαδίζουν, τοὺς προσπερνοῦν καθ' ὁδόν, ὡς περισσότερον ταχεῖς ἀπὸ τοὺς ἀνθρώπους, καὶ μεταβαίνουν καὶ τὸ ἀναγγέλλουν; Αὐτὸ δύναται νὰ τὸ ἐπιτύχῃ καὶ ἕνας ἱππεύς, ἐφ' ὅσον αὐτὸς τρέχει ταχύτερον τοῦ πεζοπόρου.

3. Ὥστε λοιπὸν δὲν πρέπει νὰ θαυμάζωμεν τοὺς δαίμονας δι' αὐτὸ τὸ κατόρθωμα, διότι τίποτε δὲν δύνανται νὰ γνωρίζουν ἐκ τῶν προτέρων, ἀπὸ αὐτὰ ποὺ δὲν συνέβησαν ἀκόμη, πρὶν νὰ συμβοῦν. Οἱ δαίμονες μόνον αὐτά, ποὺ βλέπουν, τὰ ἁρπάζουν ὡς κλέπται καὶ ὡς κατάσκοποι, τρέχοντες γρηγορώτερα, τὰ ἀναγγέλλουν.

4. Αὐτὸ τὸ κατόρθωμα δύναται νὰ τὸ ἐπιτύχῃ καὶ ἕνας, ποὺ τρέχει γρήγορα καὶ προσπερνᾷ τὸν βραδυποροῦντα. Αὐτὸ δέ, ποὺ λέγω, ἔχει τὴν ἑξῆς σημασίαν καὶ ἔννοιαν: Πρὶν ἀκόμη κανεὶς ἀρχίσῃ νὰ βαδίζῃ, δὲν γνωρίζουν οἱ δαίμονες ἐὰν πρόκειται νὰ περπατήσῃ. Μόλις δὲ τὸν ἰδοῦν, ὅτι ἤρχισε νὰ βαδίζῃ, τρέχουν, καὶ πρὶν νὰ φθάσῃ ὁ ὁδοιπόρος εἰς τὸ σημεῖον, ποὺ κατευθύνεται, ἀναγγέλλουν καὶ γνωστοποιοῦν τὸν μελλοντικὸν ἐρχομόν του εἰς αὐτούς, ποὺ εὑρίσκονται εἰς τὸν τόπον τοῦ προορισμοῦ του· καὶ πράγματι, μετὰ ἀπὸ μερικὰς ἡμέρας ἔρχεται αὐτός, περὶ τοῦ ὁποίου προανήγγειλαν!

5. Πολλὰς φορὰς μάλιστα διεψεύσθησαν οἱ δαίμονες καὶ ἐξηπατήθησαν ὅσοι εἶχον πιστεύσει εἰς αὐτούς, διότι, ἐν τῷ μεταξύ, ξαναγύρισε πίσω ὁ ὁδοιπόρος ἢ καὶ διότι κάτι ἄλλο ἀπεφάσισεν ἡ Θεία Πρόνοια. Ἐπάνω λοιπὸν εἰς αὐτὴν τὴν πονηρίαν τῶν δαιμόνων ἐστηρίχθησαν τὰ εἰδωλολατρικὰ μαντεῖα τῶν Ἀρχαίων Ἑλλήνων, καὶ τοιουτοτρόπως ἐπλανῶντο ἀπὸ τοὺς δαίμονας οἱ πρὸ Χριστοῦ ἄνθρωποι. Τώρα ὅμως ἔχουν τελείως παύσει νὰ πλανοῦν τοὺς ἀνθρώπους, διότι ἦλθεν ὁ Κύριος, ὁ ὁποῖος, μαζὶ μὲ τὴν πανουργίαν τῶν μαντείων, κατήργησε καὶ τοὺς πανούργους δαίμονας.

6. Τίποτε λοιπὸν δὲν γνωρίζουν ἀφ' ἑαυτῶν οἱ δαίμονες, ἀλλ' ὡς κατάσκοποι, ὅσα βλέπουν εἰς τοὺς ἄλλους, τὰ διαβιβάζουν. Δὲν προγνωρίζουν λοιπὸν τὰ συμβαίνοντα οἱ δαίμονες, ἀλλὰ μᾶλλον τὰ συμπεραίνουν· δι' αὐτὸ καὶ ἐὰν καμμιὰ φορὰ βγαίνουν ἀληθῆ αὐτά, ποὺ προλέγουν, δὲν πρέπει, ἐξ αὐτοῦ, νὰ τοὺς θαυμάζῃ κανεὶς ἢ νὰ τοὺς προσέχῃ. Τοιαύτην ἱκανότητα, παραδείγματος χάριν, παρατηροῦμεν καὶ εἰς τοὺς ἰατρούς· οὗτοι δηλαδή, ἐκ πείρας γνωρίζουν τὴν φύσιν καὶ

ἐξέλιξιν τῶν νοσημάτων· μόλις λοιπὸν ἐξακριβώσουν ἕνα νόσημα, τὸ ὁποῖον συχνάκις εἶδον, νὰ ἐμφανίζεται καὶ εἰς ἄλλον ἄνθρωπον, ἀμέσως συμπεραίνουν τὴν ἐξέλιξιν τῆς ἀσθενείας καὶ τὴν προλέγουν.

7. Ἀλλὰ καὶ οἱ ναυτικοὶ καὶ οἱ γεωργοὶ πάλιν ἐσχημάτισαν πεῖραν, ἐκ τῶν συχνῶν παρατηρήσεων τοῦ οὐρανοῦ καὶ τῶν σημείων αὐτοῦ, δι' αὐτὸ καὶ μόλις ἴδουν τὴν κατάστασιν τοῦ καιροῦ, προλέγουν ἂν θὰ γίνῃ χειμὼν ἢ καλωσύνη. Ἀσφαλῶς δὲ κανεὶς δὲν δύναται νὰ ἰσχυρισθῇ, ὅτι τὰ ὅσα προλέγουν ὀφείλονται εἰς θεϊκὴν ἔμπνευσιν, ἀλλ' οἱ πάντες γνωρίζουν, ὅτι ἡ πρόβλεψίς των αὐτὴ εἶναι ἀποτέλεσμα συνηθείας καὶ ἐμπειρίας.

8. Ἄλλωστε εἰς τί εἶναι χρήσιμον, διὰ τοὺς ἀκούοντας, τὸ νὰ πληροφορηθοῦν ἀπὸ τοὺς δαίμονας ἐνωρίτερον, αὐτὰ ποὺ πρόκειται νὰ συμβοῦν μετά τινας ἡμέρας; Ἢ ποία ἡ ἀνάγκη νὰ βιαζώμεθα νὰ γνωρίσωμεν αὐτά; Διότι ἡ τοιαύτη γνῶσις τῶν μελλόντων νὰ συμβοῦν δὲν ἀποτελεῖ ποιητικὴν αἰτίαν τῆς ἀρετῆς, οὔτε εἶναι χαρακτηριστικὸν γνώρισμα καλοῦ καὶ ἐναρέτου βίου· δι' αὐτὸ καὶ κανεὶς ἀπὸ ἡμᾶς δὲν ἐπαινεῖται, ἐπειδὴ τυχὸν ἔχει μάθει κάτι μέλλον νὰ συμβῇ. Ἀπεναντίας ὁ καθεὶς θὰ κριθῇ, ἐὰν ἐτήρησε τὴν πίστιν, καὶ ἐὰν ἐξετέλεσε τὰς ἐντολάς, ἐξ ἀγάπης πρὸς τὸ ἀγαθὸν καὶ οὐχὶ ἔκ τινος ταπεινοῦ ἐλατηρίου. Δι' αὐτὸ δὲν πρέπει νὰ δίδωμεν σημασίαν εἰς αὐτά, οὔτε νὰ φροντίζωμεν νὰ προγιγνώσκωμεν τὰ μέλλοντα, ἀλλ' οὔτε καὶ νὰ περιμένωμεν ἀνταμοιβὴν ἀπὸ τὸν Θεὸν δι' αὐτὴν τὴν προσπάθειαν. Προτιμότερον εἶναι νὰ εὐχώμεθα εἰς τὸν Θεὸν νὰ μᾶς βοηθήσῃ εἰς τὴν κατὰ τοῦ διαβόλου νίκην.

9. Ἂς ἐξαγνίζωμεν λοιπὸν τὴν διάνοιάν μας καὶ πιστεύω, ὅτι ἐφ' ὅσον ἡ ψυχὴ θὰ εἶναι καθαρά, ἱσταμένη εἰς τὴν φυσικὴν αὐτῆς κατάστασιν, δηλαδὴ τὴν πρὸ τῆς πτώσεως τοῦ Ἀδάμ, τότε δύναται νὰ γίνῃ διορατικὴ καὶ νὰ προβλέπῃ μακρύτερα ἀπὸ τοὺς δαίμονας, ἀλλὰ καὶ περισσότερα ἐκείνων, διότι θὰ ἔχῃ ἐν ἑαυτῇ τὸν Κύριον, ὅστις εἶναι ἡ πηγὴ καὶ αἰτία πάσης ἀποκαλύψεως καὶ προγνώσεως, ὅπως ἦτο ἡ ψυχὴ τοῦ Ἐλισαίου, ὅταν ἔβλεπε τὰ ὑπὸ τοῦ Γιεζὶ τελούμενα (βλ. Δ' Βασ. ε' 20—27). Ὅταν ἡ ψυχὴ φθάσῃ εἰς αὐτὸ τὸ σημεῖον ἁγνότητος, ἀσφαλῶς θὰ βλέπῃ πλέον ἐναργῶς τὰς πνευματικὰς δυνάμεις, ποὺ τὴν περιτριγυρίζουν.

10. Τὰ ὄνειρα, ποὺ ἐμφανίζονται εἰς τὴν ψυχήν μας, ἀπὸ ἀγάπην τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, ἔχουν τὰ ἑξῆς γνωρίσματα· εἶναι σταθεροὶ καὶ ἀκριβεῖς φορεῖς ἀποκαλύψεως εἰς ὑγιαίνουσαν ψυχήν, δι' αὐτὸ δὲν ἀλλάζουν σχῆμα, οὔτε μεταβάλλονται ἀπὸ μιᾶς ψυχικῆς εἰκόνος εἰς ἄλλην, οὔτε βεβαίως ἐκφοβίζουν τὴν ψυχήν, οὔτε προκαλοῦν, συγχρόνως, γέλωτας καὶ σκυθρωπότητα· πλησιάζουν τὴν ψυχὴν ἐλαφρὰ καὶ μὲ ἠπιότητα, καὶ τὴν γεμίζουν μὲ πνευματικὴν εὐχαρίστησιν καὶ χαράν. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον, ὁσάκις ἡ ψυχὴ ἴδῃ τοιαῦτα ἀπὸ Θεοῦ ὄνειρα, ὅταν τὸ σῶμα ἐξυπνήσῃ ἀπὸ τὸν ὕπνον, μὲ ηὐξημένον

πόθον καὶ πολλὴν θερμότητα ἀναζητεῖ ἡ ψυχὴ τὴν χαρὰν τοῦ ὀνείρου.

11. Τελείως ἀντίθετοι πρὸς αὐτὰ εἶναι αἱ φαντασίαι τῶν δαιμόνων· οὔτε δηλαδὴ παραμένουν ἐπὶ πολὺ εἰς τὸ αὐτὸ σχῆμα, ἀλλ' οὔτε καὶ ἐπ' ἀρκετὸν φανερώνουν εἰκόνα, ποὺ δὲν ταράσσει τὴν ψυχήν, διότι αὐτὸ ποὺ δὲν ἔχουν ἀπὸ προαίρεσίν των, ἀλλὰ τὸ χρησιμοποιοῦν ἀπὸ τὴν ἰδικήν των πλάνην, δὲν ἠμποροῦν νὰ τὸ καταστήσουν διαρκὲς εἰς τὰ ὄνειρα. Εἰς τὰ τοιαῦτα ὄνειρα οἱ δαίμονες λέγουν πράγματα πομπώδη καὶ μεγάλα. Πολλάκις πάλιν, μετασχηματιζόμενοι εἰς στρατιωτικούς, ἀπειλοῦν μὲ σκληρότητα, ἄλλοτε πάλιν κραυγάζοντες ψάλλουν πρὸς τὴν ψυχήν. Ἀπὸ αὐτοὺς τοὺς μετασχηματισμοὺς δύναται ὁ νοῦς, ἐφ' ὅσον εἶναι ἁγνός, νὰ τοὺς ἀντιληφθῇ καλῶς καὶ οὕτω, διὰ τῆς εὐσεβοῦς φαντασίας, διεγείρει τὸ σῶμα ἐκ τοῦ ὕπνου, διὰ νὰ ἀποφύγῃ ἡ ψυχὴ τὴν πλάνην τῶν ὀνείρων.

12. Ἡ ἄμυνα αὐτὴ τῆς ψυχῆς προκαλεῖ χαρὰν εἰς τὸν ἄνθρωπον, διότι συνήθισε νὰ ἀντιλαμβάνεται τοὺς δολίους σκοποὺς τῶν δαιμόνων· δι' αὐτὸ μάλιστα, πολλὰς φοράς, ἐξοργίζει ἐναντίον του τοὺς δαίμονας, ἐπειδή, κατὰ τὴν διάρκειαν τοῦ ἰδίου ὀνείρου, δι' οὗ ἐπιδιώκουν νὰ παγιδεύσουν τὴν ψυχήν, ἐλέγχει οὗτος τὴν ἀπάτην τοῦ δαίμονος. Πλὴν ὅμως εἶναι δυνατὸν καὶ τὰ ἀπὸ Θεοῦ ψυχωφελῆ ὄνειρα νὰ μὴ προκαλέσουν χαρὰν εἰς τὴν ψυχήν, ἀλλὰ νὰ ἐπιφέρουν μίαν γλυκεῖαν λύπην καὶ δάκρυα· αὐτὸ συμβαίνει εἰς ἐκείνους ποὺ προκόπτουν πολὺ εἰς τὴν ταπεινοφροσύνην.

13. Ἡμεῖς, δι' ὅσων μέχρι τώρα ἐξεθέσαμεν, ἀνεπτύξαμεν πῶς πρέπει νὰ γίνεται ἡ διάκρισις μεταξὺ τῶν καλῶν καὶ τῶν κακῶν ὀνείρων, ὅπως ἐδιδάχθημεν ἀπὸ τοὺς πεπειραμένους Γέροντας· μᾶς φθάνει δέ, διὰ νὰ κατορθώσωμεν μεγάλην ἀρετήν, τὸ νὰ μὴ ἐμπιστευώμεθα καθόλου εἰς τὴν φαντασίαν, διότι τὰ ὄνειρα, τίποτε ἄλλο δὲν εἶναι, παρὰ εἰκόνες σχηματιζόμεναι ἀπὸ τοὺς περιπλανωμένους εἰς τὴν διάνοιάν μας λογισμοὺς ἤ, ὅπως πάλιν εἶπα, ἐμπαιγμοὶ τῶν δαιμόνων, διὰ νὰ μᾶς παγιδεύσουν.

14. Διὰ τοῦτο καὶ ὅταν ἀκόμη ἤθελεν ἔλθει εἰς τὴν ψυχήν μας ἀπὸ τὴν ἀγαθότητα τοῦ Θεοῦ ἀποκαλυπτικὸν ὅραμα καὶ δὲν τὸ δεχθῶμεν, δὲν θὰ ὀργισθῇ ἐναντίον ἡμῶν ὁ πολυπόθητός μας Ἰησοῦς Χριστός, διότι γνωρίζει, ὅτι δὲν ἐδώσαμεν σημασίαν εἰς αὐτὸ τὸ ὅραμα φοβούμενοι τὰς παγίδας τοῦ διαβόλου. Ἡ διάκρισις, περὶ τῆς ὁποίας ὡμίλησα, εἶναι ἀκριβής· συμβαίνει ὅμως κάποτε, ἐκ συναρπαγῆς τοῦ διαβόλου, νὰ ρυπανθῇ ἡ ψυχή μας, χωρὶς νὰ τὸ ἀντιληφθῶμεν, (πρᾶγμα τὸ ὁποῖον, κατὰ τὴν γνώμην μου, οὐδεὶς δύναται νὰ ἀποφύγῃ), ὁπόταν χάνει, πρὸς στιγμήν, τὴν ἱκανότητα τῆς ἀκριβοῦς διαγνώσεως, καὶ εἶναι ἐνδεχόμενον νὰ θεωρήσῃ τὰ καλὰ καὶ ἀποκαλυπτικὰ ὄνειρα, ὡς ἐπισφαλῆ καὶ διαβολικά.

15. Τοῦτο θὰ προσπαθήσω νὰ τὸ καταστήσω ἀντιληπτὸν καὶ σαφὲς μὲ τὸ ἑξῆς παράδειγμα· ἕνας κύριος, μετὰ ἀπὸ πολλὴν παραμονὴν

εἰς ξένα μέρη, ἐπιστρέφει εἰς τὸν οἶκον του, κατὰ τὸ διάστημα τῆς νυκτός. Εὑρισκόμενος λοιπὸν εἰς τὴν ἐξώθυραν τῆς ἐπαύλεώς του, φωνάζει τὸν δοῦλον του, διὰ νὰ τοῦ ἀνοίξῃ. Ὁ δοῦλος ὅμως δὲν πείθεται εἰς τὴν φωνὴν τοῦ καλοῦντος καὶ δὲν ἀνοίγει, διότι φοβεῖται, μήπως εἶναι ἄλλη φωνή, ποὺ ὁμοιάζει μὲ τὴν τοῦ κυρίου του, διὰ νὰ τὸν ἐξαπατήσῃ καὶ νὰ τὸν καταστήσῃ τοιουτοτρόπως ἀθέλητον προδότην τῶν θησαυρῶν τοῦ κυρίου του.

16. Ἐναντίον λοιπὸν αὐτοῦ τοῦ δούλου, ὅταν ἐξημέρωσεν, ὁ κύριος, ὄχι μόνον δὲν ὠργίσθη, ἀλλὰ καὶ τὸν ἐπήνεσε πάρα πολύ, διότι καὶ αὐτὴν τὴν φωνήν του ἐνόμισεν, ὅτι ἦτο πλάνη, ἐπιθυμῶν νὰ μὴ χάσῃ τίποτ- ἀπὸ τὰ πράγματα, ποὺ ἀνῆκον εἰς τὴν περιουσίαν τοῦ κυρίου του.

Γ'. Τοῦ Ἁγίου Μαξίμου.

ὩΣΠΕΡ τοῦ πεινῶντος ὁ νοῦς ἄρτον φαντάζεται, καὶ τοῦ διψῶντος ὕδωρ, οὕτω καὶ ἡ τοῦ γαστριμάργου φαντασία ποικιλίας ἐδεσμάτων, καὶ τοῦ φιληδόνου μορφὰς γυναικῶν, καὶ τοῦ κενοδόξου τὰς ἐξ ἀνθρώπων τιμάς, καὶ τοῦ φιλαργύρου τὰ κέρδη, καὶ τοῦ μνησικάκου τὴν ἄμυναν τοῦ λυπήσαντος, καὶ τοῦ φθονεροῦ, τὴν κάκωσιν τοῦ φθονουμένου.

2. Καὶ ἐπὶ τῶν ἄλλων παθῶν ὁμοίως· ἐκ γὰρ τῶν παθῶν ὀχλούμενος, λαμβάνει τὰ ἐμπαθῆ νοήματα, καὶ ἐγρηγορότος τοῦ σώματος καὶ κατὰ τοὺς ὕπνους, ὅταν ἡ ἐπιθυμία αὔξῃ τὰς ποιητικὰς ὕλας, ἐν τοῖς ὕπνοις φαντάζεται.

3. Ὅταν δὲ ὁ θυμός, τὰ τῶν φόβων ποιητικὰ πράγματα βλέπῃ, αὔξουσι μέντοι τὰ πάθη οἱ ἀκάθαρτοι δαίμονες, συνεργὸν τὴν ἡμετέραν ἀμέλειαν λαμβάνοντες, καὶ ταῦτα ἐρεθίζοντες, ἐλαττοῦσι δὲ οἱ Ἄγγελοι πρὸς τὴν τῶν ἀρετῶν ἡμᾶς κινοῦντες ἐργασίαν.

Ἑρμηνεία

ΟΠΩΣ ὁ νοῦς τοῦ πεινασμένου φαντάζεται ἄρτον καὶ τοῦ διψασμένου νερό, τοιουτοτρόπως καὶ ἡ φαντασία τοῦ γαστριμάργου προβάλλει ποικιλίας φαγητῶν, τοῦ φιληδόνου μορφὰς γυναικῶν, τοῦ κενοδόξου τὰς ἐκ τῶν ἀνθρώπων τιμάς, τοῦ φιλαργύρου κέρδη, τοῦ μνησικάκου τὴν ἐκδίκησιν κατὰ τοῦ λυπήσαντος, καὶ τοῦ φθονεροῦ τὴν δυστυχίαν τοῦ ὑπ' αὐτοῦ φθονουμένου.

2. Καὶ ἐπὶ τῶν ἄλλων παθῶν τὸ αὐτὸ συμβαίνει· ἡ φαντασία τῶν ἀνθρώπων, κατὰ τὴν ἀνωτέρω φυσικὴν συνέπειαν, συνδυάζει παραστάσεις καὶ εἰκόνας ἐκ τῶν ἐνοχλούντων αὐτοὺς παθῶν, τὰς ὁποίας προβάλλει εἰς τὴν διάνοιαν. Διότι ἐκεῖνος, ποὺ ἐνοχλεῖται ἀπὸ τὰ πάθη, δέχεται εἰς τὴν ψυχήν του τὰ ἐμπαθῆ νοήματα (σκέψεις) καὶ ὅταν εἶναι ξυπνητός, ἀλλὰ καὶ ὅταν κοιμᾶται.

3. Τοιουτοτρόπως, ὅταν εἰς τὴν ψυχήν μας αὐξηθῇ ἡ ἐπιθυμία, τότε ὁ νοῦς μας, εἰς τὸν ὕπνον, φαντάζεται τὸ ὑλικόν, ποὺ σχηματίζει ἡ ἐπιθυμία, καὶ μεταβάλλεται εἰς ἐπιθυμητὰς μορφάς· ὅταν πάλιν αὐξηθῇ ὁ θυμός, τότε, εἰς τὸν ὕπνον, ὁ νοῦς μας, μὲ τὴν φαντασίαν, βλέ-

πει ἀντικείμενα καὶ περιστατικά, ποὺ προξενοῦν φόβους καὶ ἀνησυχίας. Τὰ πάθη βεβαίως τὰ αὐξάνουν οἱ ἀκάθαρτοι δαίμονες, ἔχοντες ὅμως, πρὸς τοῦτο, συνεργάτην καὶ τὴν ἀμέλειάν μας· δηλαδὴ οἱ μὲν δαίμονες ἐρεθίζουν τὰ πάθη, διεγείροντες αὐτὰ διὰ τῶν ἐμπαθῶν σκέψεων καὶ νυκτερινῶν παραστάσεων, οἱ δὲ Ἄγγελοι τὰ κατευνάζουν, παρακινοῦντες ἡμᾶς πρὸς ἐργασίαν τῶν ἀρετῶν.

Δ'. Ἐν τῷ Γεροντικῷ.

ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων· τί εἰσι τὰ νυκτερινὰ φαντάσματα, Πάτερ; Καὶ ἀπεκρίθη ὁ Γέρων· ὥσπερ ἐν τῇ ἡμέρᾳ ἀλλοτρίοις λογισμοῖς ἀσχολεῖ ἡμᾶς ὁ διάβολος, ἵνα μὴ σχολάζωμεν τῇ προσευχῇ καὶ ταῖς ἀγαθαῖς ἐννοίαις, οὕτω καὶ ἐν τῇ νυκτὶ φαντάσμασι μεγάλοις καὶ ποικίλοις ἐκταράσσει ἡμῶν τὴν διάνοιαν, ὡς ἂν ἀχρειώσῃ καὶ τὴν νυκτερινὴν προσευχὴν ὁ μισάνθρωπος· διὸ οὐ δεῖ προσέχειν ὅλως αὐτοῖς.

Ἑρμηνεία

ΕΝΑΣ Ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

—Πάτερ μου, τί εἶναι τὰ νυκτερινὰ φαντάσματα;

Ὁ Γέρων τοῦ ἀπεκρίθη:

—Τέκνον μου, ὅπως ἀκριβῶς τὴν ἡμέραν ὁ διάβολος μᾶς ἀπασχολεῖ μὲ διαφόρους ξένους, πρὸς τὸ πνευματικὸν ἔργον, λογισμούς, διὰ νὰ μὴ ἀπασχολούμεθα μὲ τὴν προσευχὴν καὶ τὰς ἀγαθὰς σκέψεις, τοιουτοτρόπως, καὶ τὴν νύκτα, ἐπιδιώκει μὲ διάφορα σοβαρὰ φαντάσματα νὰ διαταράξῃ τὴν διάνοιάν μας, ἕως ὅτου κατορθώσῃ ὁ μισάνθρωπος νὰ ἀχρηστεύσῃ καὶ τὴν νυκτερινήν μας προσευχήν. Δι' αὐτὸ δὲν πρέπει καθόλου νὰ προσέχωμεν εἰς αὐτὰ τὰ φαντάσματα.

Ε'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΑΓΑΠΗΤΕ, μὴ πίστευε τοῖς ἀπατηλοῖς ἐνυπνίοις· πολλοὺς γὰρ ἐπλάνησαν τὰ ἐνύπνια, καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτά· εἰς ποῖα μέτρα ἐφθάσαμεν ἵνα ὀπτασίας Ἀγγέλων ἴδωμεν;

Ἑρμηνεία

ΑΓΑΠΗΤΕ, νὰ μὴ πιστεύῃς εἰς τὰ ἀπατηλὰ ὄνειρα, διότι πολλοὺς παρεπλάνησαν αὐτὰ τὰ ὄνειρα καὶ ἐξέπεσαν ὅσοι ἐστήριξαν τὰς ἐλπίδας των εἰς αὐτά. Ἄς σκεφθῶμεν εἰς ποῖα μέτρα ἀρετῆς ἐφθάσαμεν, διὰ νὰ ἴδωμεν ὀπτασίας Ἀγγέλων;



·:ὙΠΟΘΕΣΙΣ ΚΑ΄·:

Ὅτι τὰ ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου οὐδαμῶς οἱ δαίμονες οἴδασιν, οὐδὲ ποίοις ἡττώμεθα πάθεσιν· ἐξ ὧν δὲ λαλοῦμεν ἢ πράττομεν ταῦτα μανθάνουσιν.

Οἱ δαίμονες καθόλου δὲν γνωρίζουν τί ἔχει εἰς τὴν καρδίαν του ὁ ἄνθρωπος, οὔτε ἀπὸ ποῖα πάθη νικώμεθα. Τὰς διαθέσεις καὶ τὰς ἀδυναμίας ἡμῶν πληροφοροῦνται μόνον ἀπὸ ὅσα λέγομεν ἢ πράττομεν.

Α΄. Ἐν τῷ Γεροντικῷ.



ΕΙΠΕΝ ὁ Ἀββᾶς Ματόης, ὅτι οὐκ οἶδεν ὁ σατανᾶς ποίῳ πάθει ἡττᾶται ἡ ψυχή· σπείρει μὲν γὰρ τοὺς ἐμπαθεῖς λογισμούς, οἷον περὶ πορνείας, περὶ καταλαλιᾶς, ὁμοίως καὶ περὶ τῶν ἄλλων παθῶν, ἀλλ' οὐκ οἶδε εἰ θερίσει, ἤγουν εἰ τούτους παραδεξόμεθα ἢ πράξομεν· εἰς οἷον δὲ πάθος ἴδῃ διὰ τοῦ σώματος τὴν ψυχὴν κλίνασαν, τοῦτο χορηγεῖ αὐτῇ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ματόης εἶπεν, ὅτι ὁ σατανᾶς δὲν γνωρίζει ἀπὸ ποῖον πάθος νικᾶται ἡ ψυχή· σπείρει μὲν βέβαια τοὺς λογισμοὺς τῶν διαφόρων παθῶν, ὅπως τῆς πορνείας, τῆς καταλαλιᾶς καὶ ἐν γένει τοὺς λογισμοὺς ὅλων τῶν παθῶν, ἀλλὰ δὲν γνωρίζει ἐὰν θὰ θερίσῃ, ἐὰν δηλαδὴ θὰ τοὺς παραδεχθῶμεν καὶ ἂν θὰ πράξωμεν τὰς ἀντιστοίχους ἁμαρτίας. Μόλις δὲ διαπιστώσῃ, ἀπὸ τὰς κινήσεις τοῦ σώματος, εἰς ποῖον πάθος κλίνει ἡ ψυχή, μὲ αὐτὸ τὴν πολεμεῖ.

Β΄. Τοῦ Ἀββᾶ Κασσιανοῦ.

ΑΔΕΛΦΟΣ ἠρώτησε τὸν Ἀββᾶν Ἀρσένιον λέγων· παρακαλῶ σε, Πάτερ, εἰπεῖν μοι, τὶς ἡ ἕνωσις τῶν πονηρῶν πνευμάτων ἐν τῇ ψυχῇ, ἡ οὕτως ἀφανής, ὥστε καὶ προσομιλεῖν αὐτῇ ἀνεπαισθήτως, καὶ συνάπτεσθαι, καὶ ἐμπνέειν αὐτῇ ἅπερ ἂν βουληθῶσι; καὶ τὶς τῆς διανοίας ἡ πρὸς αὐτοὺς συνάφεια, ὡς μηδὲ δύνασθαι ἄνευ Χάριτος Θεοῦ διακρίνειν, τί μὲν ἐκ τῆς ἐκείνων ἐπιβουλῆς, τί δὲ ἐκ τῆς ἡμῶν προθέσεως προέρχεται;

2. Ὁ δὲ Γέρων εἶπεν· οὐκ ἔστι θαυμαστόν, εἰ πνεῦμα πνεύματι ἀνεπαισθήτως συνάπτεται, καὶ ἀόρατον ὄν, προσεγγίζον ὑποβάλλει τὰ ἥδοντα τῇ ψυχῇ,

ἔστι γὰρ μεταξὺ τῶν πνευμάτων τούτων καὶ τῆς ἀνθρωπίνης ψυχῆς, κατὰ τὸ νοερόν τε καὶ λογικόν, ὁμοίωσις καὶ συγγένεια, καὶ ὁ αὐτὸς ὅρος ἀποδέδοται, περὶ τῆς τοῦ ἀνθρώπου ψυχῆς, καὶ τῆς ἐκείνων νοερᾶς οὐσίας, ὅθεν καὶ συνάπτεσθαι ἀλλήλοις διὰ τῶν λογισμῶν δύνανται.

3. Οὐ κατ' οὐσίαν, ὥστε ἕτερον τοῦ ἑτέρου εἶναι δεκτικόν· τοῦτο γὰρ μόνῃ τῇ Θεότητι δυνατὸν ὑπάρχει, ἥτις μόνη ἀσώματος καὶ ἁπλῆ τῇ φύσει κυρίως ἐστί, διὸ καὶ πάσῃ τῇ νοερᾷ φύσει ἐνυπάρχει, δι' ὅλης τῆς ὑποστάσεως αὐτῆς καὶ οὐσίας διήκουσα, καὶ τὰ ἀφανῆ αὐτῆς περιλαμβάνουσα, καὶ διερευνῶσα, ὡς μόνη ἀληθῶς οὖσα ἁπλῆ καὶ ἀσώματος.

4. Εἰ γὰρ καὶ λέγομεν πνευματικὰς εἶναι φύσεις, οἷον Ἀγγέλων καὶ δαιμόνων, καὶ αὐτῆς ὁμοίως τῆς ψυχῆς, ἀλλ' ὅμως γυμνὰς ὅλως σωμάτων ταύτας οὐχ ὑπολαμβάνομεν· ἔχουσι γὰρ καὶ αὗται σῶμα εἰ καὶ τὰ μάλιστα πολλῷ τοῦ ἡμετέρου λεπτότερον, καθὼς καὶ ὁ Ἀπόστολος λέγει· «σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια». Καὶ πάλιν· «σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν».

5. Ἐκ τούτων οὖν σαφῶς μανθάνομεν, μηδένα κυρίως ὑπάρχειν ἀσώματον, εἰ μὴ τὸν Θεὸν μόνον, ὃς δύναται ἐρευνᾶν τὰ κρύφια καὶ διήκειν πάσας τὰς νοερὰς οὐσίας, διότι μόνος, καὶ ὅλος, πανταχοῦ, καὶ ἐν πᾶσιν ὑπάρχει· διὸ καὶ τὰς ἐνθυμήσεις τῶν ἀνθρώπων μόνος Ἐκεῖνος θεωρεῖ, καθά φησιν ὁ Ἀπόστολος· «Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον Αὐτοῦ». Καὶ ὁ Προφητάναξ Δαβὶδ φησίν· «Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν». Ὁ δὲ Ἰὼβ κράζει· «Ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων».

6. Μόνῳ οὖν, ὡς εἶπον, τῷ Θεῷ δυνατὸν γινώσκειν τὰ ἡμέτερα ἐνθυμήματα, ὡς ἀσωμάτῳ μόνῳ κυρίως, καὶ δι' ὅλης τῆς ψυχικῆς οὐσίας διήκοντι, τὰ δὲ ἀκάθαρτα πνεύματα, οὐκ ἐκ τοῦ ἐνυπάρχειν τῇ ψυχῇ τὰς ποιότητας τῶν ἡμετέρων καταλαμβάνουσιν ἐνθυμήσεων, ἀλλὰ μηνύμασι τισί, καὶ σημείοις σωματικοῖς ἔξωθεν κεχρημένοι· ἢ γὰρ ἐκ τῆς ἡμετέρας διαθέσεως, ἢ ἐκ τῶν ῥημάτων, ἢ ἐκ τῶν σπουδασμάτων, πρὸς ἅπερ ῥέποντας ἡμᾶς καὶ ἐπικλινομένους ἴδωσι, τὰς ἐνθυμήσεις τῆς διανοίας καταστοχάζονται· ἐκείνας δὲ τὰς ἐννοίας, ἃς οὐδέπω ἐκ τοῦ ἐνδοτάτου τῆς ψυχῆς ταμείου προεληλύθασιν, οὐδαμῶς καταλαβεῖν δύνανται.

7. Καὶ τοὺς πονηροὺς δὲ λογισμούς, οὓς ἐν ἡμῖν αὐτοὶ ὑποσπείρουσιν, εἰ παρεδεξάμεθα, οὐκ ἄλλως διαγινώσκουσιν, εἰμὴ ἐκ τῶν σωματικῶν, ὡς εἶπον, κινήσεων, καὶ τῶν μηνυμάτων τοῦ ἔξω ἀνθρώπου, οἷον ὅταν γαστριμαργίαν τινὶ ὑποβάλλωσιν, ἐὰν θεάσωνται αὐτὸν συνεχῶς πρὸς τὸν ἥλιον ἀτενίζοντα, καὶ ἐμμερίμνως περὶ τῆς ὥρας τῆς τροφῆς διακείμενον, μανθάνουσιν, ὅτι ἐδέξατο τὴν προσβολὴν τῆς γαστριμαργίας.

8. Ὅταν πορνείαν ὑποβάλλωσιν, ἢ ἐὰν θεάσωνται τοὺς ὀφθαλμοὺς ῥεμβομένους, καὶ περιεργότερον ἐνορῶντας, οἷς οὐ δεῖ, ἢ κίνησιν τοῦ σώματος αἴσθωνται, καὶ μὴ ἴδωσιν ἀνθισταμένην γενναίως τὴν ψυχὴν ταῖς τοιαύταις ὑποβολαῖς, ἐπιγινώσκουσιν αὐτὴν τετρωμένην ὑπὸ τῶν βελῶν τῆς ἐπιθυμίας.

9. Λύπην ἢ ὀργὴν ἡνίκα ἂν ἐπισπείρωσιν, ἐγκαθήμενοι ἐν τοῖς τῆς καρδίας μέλεσι, τὴν παραδοχὴν διὰ τῶν κινημάτων τοῦ σώματος ἐπαισθάνονται, θεωροῦντες τοὺς ὀφθαλμοὺς ἐνδιαστρόφους, καὶ τεταραγμένους, καὶ τὸ πρόσωπον ἀλλοιωθὲν τῆς συνήθους ἰδέας, καὶ ἢ ὕπωχρον τῇ συστολῇ καὶ ὑποχωρήσει τοῦ αἵματος, ἢ ἐρυθρὸν ἐξαίφνης γινόμενον τῇ ζέσει τοῦ περικαρδίου αἵματος ἀναδοθέντος, ἐπὶ τὴν τοῦ προσώπου ἐπιφάνειαν.

10. Καὶ οὕτω λεπτῶς ἐκζητοῦσι, καὶ περισκοποῦσι τίνι ἐλαττώματι ἥττηται, καὶ γὰρ ἐκείνῳ τῷ πάθει ἕκαστον ἡμῶν τέρπεσθαι προδήλως ἐπιγινώσκουσιν, οὗτινος πρὸς τὴν ὑποβολὴν μὴ θεάσωνται ἡμᾶς δυσχεραίνοντας, ἀλλὰ διὰ τῆς σιωπῆς καὶ ἡσυχίας, τὴν πρὸς αὐτὸ φιλίαν καὶ ἀδολεσχίαν ἐμφαίνοντας, καὶ θαυ-

μαστὸν οὐδέν, εἰ οἱ δαίμονες ἀερίοις σώμασι κεχρημένοι διὰ τοῦ σώματος τὰς τῆς ψυχῆς διαθέσεις καταλαμβάνουσι· τοῦτο γὰρ καὶ ἄνθρωποι ἔμπειροι πολλάκις ἐξακριβοῦσι, καὶ τὴν τοῦ ἐντὸς ἀνθρώπου κατάστασιν καὶ διάθεσιν, ἐκ τοῦ σχήματος ἢ τοῦ χαρακτῆρος, ἢ τῆς ποιότητος τοῦ ἔξω ἀνθρώπου διαγινώσκουσι.

11. Χρὴ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι καὶ ἐπὶ τῶν ἐνεργουμένων οὐ δεῖ νομίζειν τοὺς δαίμονας οὕτως ἐνεργεῖν, ὡς εἰς τὴν οὐσίαν αὐτὴν τῆς ψυχῆς ἐνδομυχοῦντας καὶ ἐγκαθημένους, ὁμιλίας καὶ ῥήματα, ἃ βούλονται ἐκ τοῦ ἀνθρωπίνου ἐκπέμπειν στόματος· οὐδενὶ γὰρ τρόπῳ τοῦτο αὐτοῖς δυνατόν ἐστι, καθὰ εἴρηται, ἀλλ' οὔτε διά τινος ἐλαττώματος τῆς ψυχῆς τὸ ἀκάθαρτον ἐνεργεῖ πνεῦμα, ἀλλὰ διὰ τῆς τοῦ σώματος ἀσθενείας, ὅταν ἐκείνοις τοῖς μέλεσιν ἐγκαθήμενον, ἐν οἷς ἡ τῆς ψυχῆς συνέχεται δύναμις, ἀβάστακτον καὶ ἀμέτρητον βάρος ἐπιβαλόν, ἀμαυρώσῃ καὶ σκοτώσῃ τὰς νοητὰς τούτου αἰσθήσεις, ὃ δὴ πολλάκις ἀπὸ οἴνου, καὶ πυρετοῦ, καὶ πολλοῦ ψύχους, καὶ ἄλλων ἔξωθεν προσγινομένων νοσημάτων συμβαῖνον βλέπομεν.

12. Ὅπερ ἵνα μὴ καὶ τῷ μακαρίῳ Ἰὼβ ὁ διάβολος ἐπενέγκῃ, δεξάμενος τὴν κατὰ τῆς σαρκὸς αὐτοῦ ἐξουσίαν, τῷ τοῦ Κυρίου παραγγέλματι κωλύεται· «ἰδοὺ γάρ, φησι, παραδίδωμί σοι αὐτόν, μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον», τουτέστιν ἄφρονα αὐτὸν μὴ ποιήσῃς, πληγέντος τοῦ τῆς ψυχῆς καταγωγίου τῷ πολλῷ σου βάρει, καὶ καταχωσθείσης τῆς νοήσεως καὶ σοφίας τοῦ ἡγεμονικοῦ, τῆς ἀνθισταμένης τῇ κακίᾳ σου.

13. Οὐ γὰρ ὥσπερ τῇ παχείᾳ ταύτῃ καὶ ὑλικῇ σαρκὶ τὸ ἀκάθαρτον πνεῦμα μίγνυται, καί, τρόπον τινά, ἐνδύεται ταύτην, οὕτω καὶ τῇ ψυχῇ ἑνοῦται, ὡς εἶναι νομίζειν πνεῦμα, πνεύματος δεκτικόν· τοῦτο γὰρ τῇ Ἁγίᾳ Τριάδι μόνῃ δυνατόν ἐστιν, ὡς εἴρηται· ἀλλὰ διὰ τῆς τοῦ σώματος εὐχερείας, τῇ ψυχῇ οἱ δαίμονες ἐπιτίθενταί τε καὶ προσπαλαίουσιν.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἀρσένιον:

—Πάτερ μου, σὲ παρακαλῶ νὰ μοῦ εἴπῃς πῶς ἐπιτυγχάνεται ὁ σύνδεσμος τῶν πονηρῶν πνευμάτων μὲ τὴν ψυχήν, χωρὶς νὰ γίνεται ἀντιληπτός, καὶ πῶς τὰ πονηρὰ πνεύματα κατορθώνουν νὰ συνομιλοῦν μὲ τὴν ψυχήν, χωρὶς νὰ τὸ ἀντιλαμβάνεται, καὶ νὰ συνδέωνται μαζί της, καὶ νὰ ἐπιβάλλουν εἰς αὐτὴν τὰ θελήματά των; Ἐπίσης σὲ παρακαλῶ, νὰ μοῦ ἐξηγήσῃς ποία ἡ σχέσις τῆς διανοίας μὲ τὰ πονηρὰ αὐτὰ πνεύματα, διότι εἶναι γνωστόν, ὅτι χωρὶς τὴν Χάριν τοῦ Θεοῦ δὲν δύναται ἡ διάνοια νὰ ξεχωρίσῃ ποῖον εἶναι τὸ ἀποτέλεσμα τῆς ἐπιβουλῆς τῶν πονηρῶν πνευμάτων καὶ τί προέρχεται ἀπὸ τὴν ἐλευθέραν πρόθεσίν μας.

2. Ὁ Ἀββᾶς Ἀρσένιος ἀπήντησεν ὡς ἑξῆς: Δὲν εἶναι περίεργον καὶ ἀξιοθαύμαστον, ἐὰν ἕνα πνεῦμα ἐπικοινωνῇ μὲ ἕνα ἄλλο, χωρὶς νὰ γίνεται ἀπὸ ἡμᾶς ἀντιληπτὴ ἡ ἐπικοινωνία αὐτή· οὔτε καὶ τὸ πῶς τὸ πνεῦμα αὐτό, κατὰ τρόπον ἀόρατον, πλησιάζει τὴν ψυχήν, καὶ τῆς ψιθυρίζει τὰ προκαλοῦντα ἡδονήν· τοῦτο συμβαίνει, διότι μεταξὺ τῶν πνευμάτων αὐτῶν καὶ τῆς ψυχῆς ὑπάρχει μία ὁμοιότης καὶ συγγένεια, καθ' ὅσον ἀφορᾷ τὸ νοερὸν καὶ λογικὸν καὶ οἱ ἴδιοι ὅροι ὑπάρξεως μεταξὺ τῆς ψυχῆς τοῦ ἀνθρώπου καὶ τῆς νοερᾶς οὐσίας τῶν πνευ-

μάτων ἐκείνων· δι᾽ αὐτὸ καὶ δύνανται νὰ ἐπικοινωνῶσι μεταξύ των διὰ τῶν λογισμῶν.

3. Ἐκτὸς τῆς ἐπικοινωνίας αὐτῆς τῶν λογισμῶν, δὲν δύναται νὰ νοηθῇ ἄλλης μορφῆς ἐπικοινωνία, ὡς ἔξαφνα, τῆς κατ᾽ οὐσίαν παρουσίας ἑνὸς πνεύματος εἰς τὴν ὕπαρξιν τοῦ ἑτέρου, διότι αὐτὸ μόνον εἰς τὴν Θεότητα εἶναι δυνατόν, ἡ ὁποία εἶναι τελείως ἀσώματος καὶ ἁπλῆ κατὰ τὴν φύσιν καὶ ὡς ἐκ τούτου δύναται νὰ ὑπάρχῃ εἰς πᾶσαν νοερὰν φύσιν, διαπερῶσα αὐτὴν δι᾽ ὅλης τῆς ὑποστάσεως καὶ οὐσίας καὶ περιλαμβάνουσα ὅλα τὰ ἀφανῆ αὐτῆς μέρη, διερευνῶσα αὐτά, διότι μόνον ἡ Θεότης εἶναι κατ᾽ ἀλήθειαν ἁπλῆ καὶ ἀσώματος.

4. Διότι ἂν καὶ λέγωμεν, ὅτι ὑπάρχουν πνευματικαὶ φύσεις, ὡς οἱ Ἄγγελοι, οἱ δαίμονες καὶ αὐτή, ὁμοίως, ἡ ψυχὴ τοῦ ἀνθρώπου, ἐν τούτοις δὲν δυνάμεθα νὰ τὰς θεωρήσωμεν τελείως ἀσωμάτους· καὶ αὗται ἔχουν σῶμα, τελείως βεβαίως διάφορον καὶ λεπτότερον τοῦ ἡμετέρου, ὅπως λέγει καὶ ὁ Ἀπόστολος· «σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια» (Α' Κορ. ιε' 40). Καὶ πάλιν ὁ αὐτὸς Ἀπόστολος λέγει· «σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν» (Αὐτόθι 44).

5. Ἐξ ὅλων αὐτῶν συμπεραίνομεν, ὅτι οὐδεμία νοερὰ φύσις, οὐδὲν πνεῦμα, εἶναι τελείως ἀσώματον, παρὰ μόνον ὁ Θεός. Μόνον λοιπὸν ὁ Θεὸς δύναται νὰ ἐρευνᾷ τὰ κρύφια καὶ νὰ διέρχεται τὰ βάθη τῶν καρδιῶν καὶ νὰ γνωρίζῃ ὅλας τὰς νοερὰς οὐσίας.

Μόνος ὁ Θεὸς δύναται ὅλος νὰ ὑπάρχῃ παντοῦ καὶ εἰς ὅλα τὰ ὄντα. Δι᾽ αὐτὸ καὶ μόνον ὁ Θεὸς δύναται νὰ γνωρίζῃ τὰς σκέψεις καὶ τὰ διανοήματα τῶν ἀνθρώπων καὶ νὰ βλέπῃ ἐπακριβῶς τὰς κινήσεις τῆς διανοίας, συμφώνως καὶ μὲ αὐτά, ποὺ λέγει ὁ Ἀπόστολος· «Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ» (Ἑβρ. δ' 12—13). Καὶ ὁ Προφητάναξ Δαβὶδ λέγει σχετικῶς· «ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν» (Ψαλμ. λβ' 15), ὁ δὲ Ἰὼβ ἀνακράζει· «ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων» (Ἰὼβ ζ' 20).

6. Εἰς μόνον λοιπὸν τὸν Θεόν, ὅπως εἶπον, εἶναι δυνατὸν νὰ γνωρίζῃ τὰς σκέψεις μας καὶ τὰ διανοήματά μας, διότι Αὐτὸς μόνον εἶναι ἀσώματος καὶ διέρχεται διὰ μέσου τῆς οὐσίας τῆς ψυχῆς· τὰ ἀκάθαρτα πνεύματα δύνανται νὰ ἀντιληφθοῦν τὴν ποιότητα τῶν σκέψεων καὶ λογισμῶν μας, ὄχι ὅμως διότι ἐνυπάρχουν ἐντὸς τῆς ψυχῆς, ἀλλὰ διότι παρατηροῦν μετὰ προσοχῆς ὡρισμένας ἐκδηλώσεις μας, ἢ σωματικὰς κινήσεις, ὡς ἐπὶ παραδείγματι τὴν διάθεσίν μας πρός τι, τοὺς λόγους μας, τὰ ἐνδιαφέροντά μας· δι᾽ ὅλων αὐτῶν κατασκοπεύουν τὰ διανοήματα καὶ τοὺς λογισμοὺς τῆς διανοίας καὶ ἐξάγουν τὰ συμπεράσματά των. Ἐκείνας ὅμως τὰς ἐννοίας καὶ τὰς σκέψεις, αἱ ὁποῖαι οὐδέποτε ἔχουν ἐξέλθει ἀπὸ τὰ ἐσώτατα βάθη τῆς ἀνθρωπίνης

ψυχῆς, οὐδέποτε τὰ πονηρὰ πνεύματα δύνανται νὰ τὰς ἀντιληφθοῦν(1).

7. Καὶ αὐτοὺς ἀκόμη τοὺς πονηροὺς λογισμούς, ποὺ κρυφίως σπείρουν εἰς τὴν ψυχήν μας, δὲν δύνανται τὰ πονηρὰ πνεύματα κατ' ἄλλον τρόπον νὰ γνωρίζουν, ἐὰν τοὺς ἐδέχθημεν, παρὰ μόνον, ὅπως εἶπον, ἐκ τῶν κινήσεων τοῦ σώματος καὶ τῶν ἐν γένει ἐξωτερικῶν ἐκδηλώσεων τοῦ ἀνθρώπου. Παραδείγματος χάριν, ὅταν ὑποβάλλουν εἰς τὸν ἄνθρωπον λογισμοὺς γαστριμαργίας, θὰ ἀντιληφθοῦν, ὅτι ὁ ἄνθρωπος ἐδέχθη τὴν προσβολὴν τῆς γαστριμαργίας, ἐὰν τὸν ἴδουν νὰ παρακολουθῇ συνεχῶς τὴν πορείαν τοῦ ἡλίου καὶ μετ' ἐνδιαφέροντος νὰ ἀναμένῃ τὴν ὥραν τοῦ φαγητοῦ.

8. Ὅταν σπείρουν εἰς τὴν ψυχὴν λογισμοὺς πορνείας, θὰ ἀντιληφθοῦν τὴν συγκατάθεσίν μας, ἐὰν μᾶς ἴδουν νὰ περιφέρωμεν φιληδόνως τοὺς ὀφθαλμούς μας καὶ μετὰ περιεργείας βλέποντας τὰ διάφορα πρόσωπα, ποὺ δὲν πρέπει, ἢ ἐὰν ἀντιληφθοῦν φιλήδονον σωματικὴν κίνησιν καὶ δὲν ἴδουν τὴν ψυχὴν μετὰ γενναιότητος νὰ ἀντιστέκεται εἰς αὐτὰς τὰς ὑπόπτους εἰσηγήσεις. Ἐξ αὐτῶν θὰ καταλάβουν ὅτι ἡ ψυχὴ ἐτραυματίσθη ἀπὸ τὴν ἐπιθυμίαν.

9. Ὅταν πάλιν σπείρουν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου λύπην ἢ ὀργήν, καὶ ἡ ψυχὴ δεχθῇ τὰ σπέρματά των, οἱ δαίμονες τὸ αἰσθάνονται ἀπὸ τὰς κινήσεις τοῦ σώματος· ἐὰν δηλαδὴ ἴδουν τοὺς ὀφθαλμοὺς ἀγριεμένους καὶ περιφερομένους ἐναγωνίως, τὸ πρόσωπον ἀλλαγμένον ἀπὸ τὴν συνηθισμένην του μορφήν, ἄλλοτε κίτρινον ἀπὸ τὴν συστολὴν καὶ ὑποχώρησιν τοῦ αἵματος, καὶ ἄλλοτε κατακόκκινον ἀπὸ τὴν ἐπιτάχυνσιν τοῦ περικαρδίου αἵματος εἰς τὴν ἐπιφάνειαν τοῦ προσώπου, ἀπὸ τὰς σωματικὰς αὐτὰς ἐκδηλώσεις θὰ ἀντιληφθοῦν οἱ δαίμονες, ὅτι παρεδέχθημεν τοὺς λογισμοὺς τῆς ὀργῆς καὶ τῆς λύπης.

10. Τοιουτοτρόπως λοιπὸν λεπτομερῶς ἐρευνοῦν καὶ κατασκοπεύουν ἀπὸ ποῖον ἐλάττωμα νικᾶται εὐκολώτερον ἡ ψυχή· ὁλοφάνερα δὲ ἀντιλαμβάνονται πρὸς ποῖον πάθος ἔχει ἀδυναμίαν ἕκαστος ἐξ ἡμῶν, ὅταν μᾶς παρατηρήσουν νὰ μὴ δυσφορῶμεν ἐκ τῆς ὑποβολῆς τοῦ γενεσιουργοῦ λογισμοῦ, ἀλλ' ἀπ' ἐναντίας, μὲ τὴν σιωπὴν καὶ τὴν ἡσυχίαν μας, νὰ δείχνωμεν τὴν πρὸς αὐτὸν ἀγάπην μας καὶ εὐχάριστον ἐνασχόλησίν μας. Καὶ μὴ σοῦ φαίνεται αὐτὸ περίεργον καὶ θαυμαστόν, ἐὰν δηλαδὴ οἱ δαίμονες, ὡς ἄϋλα καὶ ἀερικὰ σώματα, ἀντιλαμβάνωνται τὰς ψυχικάς μας διαθέσεις ἀπὸ τὰς σωματικὰς ἐκδηλώσεις· καὶ τοῦτο διότι ὑπάρχουν ἄνθρωποι ἔμπειροι, ποὺ πολλὰς φορὰς ἐξακριβώνουν καὶ τὴν ἐσωτερικὴν κατάστασιν τῶν συνανθρώπων των καὶ τὰς ψυχικάς των διαθέσεις, ἀπὸ τὴν ἐμφάνισιν, τὴν συμπεριφορὰν καὶ τὴν ποιότητα τῶν ἐξωτερικῶν ἐκδηλώσεων τοῦ ἀνθρώπου.

11. Πρέπει δὲ καὶ αὐτὸ ἀκόμη νὰ γνωρίζῃς· ὅτι καὶ εἰς ὅσα κα-

1) Τὴν ἀλήθειαν αὐτὴν διαισθάνεται πᾶς τις Χριστιανός, διότι καὶ περὶ ἀγαθῆς τινος προαιρέσεως λέγομεν· «νὰ μὴ τὸ ἀκούσῃ ὁ διάβολος καὶ φθονήσῃ».

κὰ ἐνεργοῦμεν, δὲν πρέπει νὰ θεωρῶμεν αἰτίαν αὐτῶν τοὺς δαίμονας, ὑπὸ τὴν ἔννοιαν ὅτι εἰσῆλθον εἰς τὰ βάθη τῆς οὐσίας τῆς ψυχῆς καὶ ἐγκατεστάθησαν καὶ ἐκπέμπουν λέξεις καὶ φράσεις, ποὺ θέλουν, διὰ τοῦ ἀνθρωπίνου στόματος· αὐτό, ὅπως ἔχει λεχθῆ, μὲ κανένα τρόπον δὲν εἶναι δυνατὸν νὰ γίνῃ ἀπὸ τοὺς δαίμονας· οὔτε ἀκόμη τὸ ἀκάθαρτον πνεῦμα ἐνεργεῖ δι' ἑνὸς ὡρισμένου ἐλαττώματος τῆς ψυχῆς. Πῶς λοιπὸν ἐνεργεῖ ἐπὶ τοῦ ἀνθρώπου ὁ δαίμων; Μόνον διὰ τῆς ἀσθενείας τοῦ σώματος· ρίπτει δηλαδὴ ἀσήκωτον βάρος εἰς ἐκεῖνα τὰ μέλη, ποὺ ἀποτελοῦν ὄργανον ἑνὸς πάθους καὶ οὕτω αἰχμαλωτίζει τὴν δύναμιν τῆς ψυχῆς, καὶ συσκοτίζει καὶ παραλύει τὰς νοητικὰς αἰσθήσεις τοῦ μέρους ἐκείνου. Ἀπαράλλακτα δηλαδή, ὅπως βλέπομεν νὰ συμβαίνῃ συνήθως καὶ ἀπὸ τὸ κρασί, τὸν πυρετὸν καὶ τὸ πολὺ κρύο καὶ ἀπὸ τὰς συνεπείας διαφόρων ἀσθενειῶν.

12. Αὐτὴν τὴν παράλυσιν τῆς ἐνεργείας τῆς ψυχῆς διὰ νὰ μὴ ἐπιφέρῃ ὁ διάβολος εἰς τὸν μακάριον Ἰώβ, ὅταν ἔλαβε τὴν ἐξουσίαν νὰ πειράξῃ τὴν σάρκα του, ἔλαβε παράγγελμα ὑπὸ τοῦ Θεοῦ νὰ μὴ θίξῃ τὴν ψυχήν του. Νὰ τὶ λέγει· «ἰδοὺ παραδίδωμί σοι αὐτόν, μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον» (Ἰὼβ β' 6). Δηλαδὴ μὴ τὸν κάμῃς τρελλόν, διάβολε,—λέγει ὁ Θεός—καταστρέφων τὸ ὑπόβαθρον τῆς ψυχῆς του ἀπὸ τὸ πολὺ βάρος καὶ τοιουτοτρόπως σκεπασθῆ ἡ νόησις καὶ ἡ σοφία τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς, μὲ τὴν ὁποίαν θὰ ἀντιστέκεται εἰς τὴν πολλήν σου κακίαν.

13. Ὥστε δὲν ἑνοῦται μὲ τὴν ψυχὴν ὁ δαίμων, ὅπως ἀναμιγνύεται τὸ ἀκάθαρτον πνεῦμα μὲ τὴν παχεῖαν καὶ ὑλικὴν σάρκα, ὥς νὰ ἦτο δυνατὴ ἡ εἰσδοχὴ τοῦ ἑνὸς πνεύματος (τοῦ κακοῦ) εἰς τὸ ἄλλο (τῆς ψυχῆς)· διότι αὐτό, ὅπως ἐλέχθη, μόνον εἰς τὴν Ἁγίαν Τριάδα εἶναι δυνατόν. Οἱ δαίμονες ἐπιτίθενται κατὰ τῆς ψυχῆς καὶ παλαίουν κατ' αὐτῆς, διὰ τῆς σωματικῆς ροπῆς πρὸς τὰ πάθη καὶ τῆς σαρκικῆς ἀδυναμίας.





ΥΠΟΘΕΣΙΣ ΚΒ΄

Τί τὸ τῆς ἀπαθείας μέτρον, καὶ τίνα ταύτης τὰ ἰδιώματα, καὶ πόθεν τῷ ἀνθρώπῳ προσγίνονται.

Ποῖον εἶναι τὸ μέτρον τῆς ἀπαθείας, ποῖαι αἱ ἰδιότητές της καὶ πῶς ἀποκτῶνται ἀπὸ τὸν ἄνθρωπον.



Α΄. Ἐν τῷ Γεροντικῷ.

ΓΕΡΩΝ τις ἐποίησε πεντήκοντα ἔτη, μήτε ἄρτον ἐσθίων, μήτε οἶνον πίνων ταχύ, καὶ ἔλεγεν ὅτι ἀπέκτεινα τὴν πορνείαν, καὶ τὴν φιλαργυρίαν, καὶ τὴν κενοδοξίαν.

2. Ἀκούσας δὲ ὁ Ἀββᾶς Ἀβραὰμ περὶ αὐτοῦ ὅτι τοῦτο εἶπεν, ἦλθε πρὸς αὐτὸν καὶ λέγει αὐτῷ· σὺ εἶπας τοῦτο; Ὁ δὲ ἔφη· ναί. Ἠρώτησεν οὖν αὐτὸν ὁ Ἀββᾶς Ἀβραὰμ καὶ εἶπεν· ἰδοὺ εἰσέρχῃ εἰς τὸ κελλίον σου καὶ εὑρίσκεις εἰς τὸ ψιάθιόν σου γυναῖκα· δύνασαι λογίσασθαι ὅτι οὐκ ἔστι γυνή; Ἀπεκρίθη ὁ Γέρων· οὔ, ἀλλὰ πολεμῶ τῷ λογισμῷ μὴ ἅψασθαι αὐτῆς. Λέγει ὁ Ἀβραάμ· ἰδοὺ οὐκ ἀπεκτάνθη, ἀλλὰ ζῇ τὸ πάθος, δέδεται δέ.

3. Πάλιν, ὡς περιπατεῖς, βλέπεις λίθους καὶ ὄστρακα, μέσον δὲ τούτων χρυσόν δύναται ἡ διάνοιά σου λογίσασθαι τὸν χρυσὸν ὥσπερ ἐκεῖνα; Ὁ δὲ ἔφη· οὐδαμῶς, ἀλλὰ πολεμῶ τῷ λογισμῷ μὴ λαβεῖν αὐτόν. Εἶτα ὁ Ἀββᾶς Ἀβραάμ· ἰδοὺ καὶ τοῦτο ζῇ, ἀλλὰ δέδεται.

4. Πάλιν ἠρώτησεν· ἰδοὺ ἀκούεις περὶ δύο ἀδελφῶν, ὅτι ὁ εἷς ἀγαπᾷ σε, καὶ ὁ ἄλλος μισεῖ καὶ κακολογεῖ σε· ἐὰν οὖν ἔλθωσιν οἱ δύο πρός σε, ἀμφοτέρους ἐπίσης ἔχεις; Ἀπεκρίθη ὁ Γέρων· οὐχί, ἀλλὰ πολεμῶ τῷ λογισμῷ ἀγαθοποιῆσαι τῷ μισοῦντί με. Λέγει ὁ Ἀββᾶς Ἀβραάμ· ἰδοὺ καὶ αὐτὸ ζῇ, δέδεται δὲ ὁμοίως τοῖς ἄλλοις· ὥστε δηλονότι ζῶσι τὰ πάθη, δεσμοῦνται δὲ ὑπὸ τῶν ἀγωνιστῶν.

5. Εἶπε Γέρων· οὐ δύναται ἄνθρωπος εἶναι καλός, κἂν θελήσῃ εἶναι καλός, κἂν πάνυ σπουδάσῃ, ἐὰν μὴ ὁ Θεὸς οἰκήσῃ ἐν αὐτῷ· «οὐδεὶς γὰρ ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός».

6. Εἶπε Γέρων· εἰ γέγονεν ἐν σοὶ ἡ ἐξουδένωσις ὡς ὁ ἔπαινος, καὶ ἡ πενία ὡς ὁ πλοῦτος, καὶ ἡ ἔνδεια ὡς ἡ δαψίλεια, οὐκ ἀποθνήσκεις· ἀμήχανον γὰρ τὸν ταῦτα κατορθώσαντα, πεσεῖν εἰς ἀκαθαρσίαν παθῶν ἢ δαιμόνων πλάνην.

7. Εἶπεν ὁ Ἀββᾶς Λογγῖνος τῷ Ἀββᾷ Ἀκακίῳ· ἡ γυνὴ τότε γινώσκει ὅτι συνέλαβεν, ὅταν σταλῇ τὸ αἷμα αὐτῆς· οὕτως οὖν καὶ ἡ ψυχή, τότε γινώσκει ὅτι συνέλαβε Πνεῦμα Ἅγιον, ὅταν σταλῇ τὰ ῥέοντα ἀπ᾽ αὐτῆς κάτωθεν πάθη· ἐν ὅσῳ δὲ ἐνέχεται ἐν αὐτοῖς, πῶς δύναται κενοδοξεῖν ὡς ἀπαθής; Δὸς αἷμα καὶ λάβε πνεῦμα.

8. Μοναχὸς ὑπαντήσας Κανονικαῖς, ὑπεχώρησεν ἐκ τῆς ὁδοῦ· ἰδοῦσα δὲ ἡ Ἡγουμένη ὃ ἐποίησεν ὁ ἀδελφός, λέγει πρὸς αὐτὸν ἀπιδοῦσα· καλῶς ἐποίησας, τέκνον, διὰ τὴν ἀσθένειάν σου, πλὴν εἰ ἦς τέλειος Μοναχός, ἡμῖν οὐκ ἂν προσέσχες ὡς γυναιξίν.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων ἠσκήτευεν ἐπὶ πεντήκοντα ἔτη, χωρὶς νὰ φάγῃ ἄρτον καὶ χωρὶς νὰ πίνῃ οἶνον, παρὰ μόνον σπανιώτατα. Ἀφοῦ λοιπὸν ἔφθασεν εἰς ἀπάθειαν ἔλεγεν: ἐφόνευσα τὴν πορνείαν, τὴν φιλαργυρίαν καὶ τὴν κενοδοξίαν.

2. Ὅταν ὁ Ἀββᾶς Ἀβραὰμ ἐπληροφορήθη, ὅτι ὁ Γέρων εἶπεν αὐτὸ τὸ πρᾶγμα, τὸν ἐπεσκέφθη καὶ τοῦ λέγει:

—Σὺ εἶπες αὐτὸ τὸ πρᾶγμα;

—Ναί—ἀπήντησεν ὁ Γέρων.

—Δὲν μοῦ λέγεις—ἠρώτησεν ὁ Ἀββᾶς Ἀβραάμ—ἔξαφνα εἰσέρχεσαι εἰς τὸ κελλί σου καὶ εὑρίσκεις ἐπάνω εἰς τὴν ψάθαν σου μίαν γυναῖκα· ἠμπορεῖς νὰ σκεφθῇς, ὅτι δὲν εἶναι γυναῖκα;

—Ὄχι βεβαίως—ἀπεκρίθη ὁ Γέρων—ἀλλὰ θὰ ἀγωνισθῶ ἐναντίον τοῦ λογισμοῦ μου νὰ μὴ τὴν ἐγγίσω.

—Ἄρα δὲν ἐφονεύθη τὸ πάθος, ἀλλὰ ζῇ—εἶπεν ὁ Ἀββᾶς Ἀβραὰμ—ἁπλῶς εἶναι δεμένον.

3. Ἐν συνεχείᾳ ὁ Ἀββᾶς Ἀβραὰμ ἠρώτησε τὸν Γέροντα:

—Καθὼς περιπατεῖς εἰς τὸν δρόμον, βλέπεις λίθους καὶ διάφορα ὄστρακα· εἰς τὸ μέσον δὲ αὐτῶν χρυσόν. Εἶναι δυνατὸν ποτὲ ἡ σκέψις σου νὰ ἐξισώσῃ, κατὰ τὴν ἀξίαν καὶ τὴν φύσιν, τὸν χρυσὸν μὲ τὰ εὐτελῆ αὐτὰ πράγματα;

—Ἀσφαλῶς ὄχι—ἀπήντησεν ὁ Γέρων—ἀλλὰ πολεμῶ μὲ τὸν λογισμόν μου, νὰ μὴ πάρω τὸν χρυσόν.

—Ἰδοὺ λοιπόν—συνεπέρανεν ὁ Ἀββᾶς Ἀβραάμ—ὅτι καὶ αὐτὸ τὸ πάθος ζῇ, πλὴν εἶναι δεμένον.


4. Ἀφοῦ εἶπεν αὐτὰ ὁ Ἀββᾶς Ἀβραάμ, ἠρώτησε καὶ πάλιν:

—Πρόσεξε τώρα, νὰ μοῦ ἀπαντήσῃς καὶ εἰς τὸ ἑξῆς: Πληροφορεῖσαι περὶ δύο ἀδελφῶν, ὅτι ὁ ἕνας σὲ ἀγαπᾷ καὶ ὁ ἄλλος σὲ μισεῖ καὶ σὲ κακολογεῖ· ἐὰν λοιπὸν σὲ ἐπισκεφθοῦν καὶ οἱ δύο, τὴν αὐτὴν ψυχικὴν διάθεσιν θὰ δείξῃς ἀπέναντι καὶ τῶν δύο;

—Βεβαίως ὄχι—ἀπήντησεν ὁ Γέρων—ἀλλὰ θὰ πολεμήσω τὸν λογισμόν μου, διὰ νὰ περιποιηθῶ καὶ νὰ κάμω καλὸν εἰς τὸν ἀδελφὸν ἐκεῖνον, ποὺ μὲ μισεῖ.

—Ἄρα—εἶπεν ὁ Ἀββᾶς Ἀβραάμ—καὶ αὐτὸ ζῇ ὅπως καὶ τὰ ἄλλα· μόνον ποὺ εἶναι δεμένον. Ὥστε εἶναι ὁλοφάνερον, πῶς τὰ πάθη ζοῦν, δεσμεύονται ὅμως ἀπὸ τοὺς ἀγωνιστάς.

5. Ἕνας Γέρων Ἀσκητὴς εἶπεν: ὁ ἄνθρωπος δὲν ἠμπορεῖ νὰ


Ὁ ὉϹΙΟϹ
ἈΒΒᾶϹ
ἈΒΡΑ
ΆΜ

εἶναι καλός, ἔστω καὶ ἐὰν θελήσῃ νὰ εἶναι, ἢ καὶ ἀκόμη ἐὰν φροντίσῃ πάρα πολύ, ἐφ᾽ ὅσον δὲν κατοικήσῃ ὁ Θεὸς εἰς τὴν ψυχήν του, διότι κανεὶς δὲν εἶναι ἀγαθός, ἐκτὸς ἀπὸ τὸν Θεόν· «οὐδεὶς ἀγαθός, εἰμὴ εἷς ὁ Θεός» (Μάρκ. ι´ 18).

6. Ἕνας ἄλλος Γέρων εἶπεν: ἐὰν ἔφθασες εἰς τὸ σημεῖον νὰ θεωρῇς τὴν περιφρόνησιν ὡς ἔπαινον, τὴν πενίαν ὡς τὸν πλοῦτον, τὴν ἀνέχειαν ὅπως τὴν ἀφθονίαν, τότε ἀσφαλῶς δὲν κινδυνεύεις νὰ ἀποθάνῃς ψυχικῶς· διότι εἶναι ἀδύνατον εἰς αὐτόν, ποὺ κατώρθωσεν αὐτὴν τὴν ἀρετήν, νὰ πέσῃ εἰς ἀκάθαρτα πάθη, ἢ εἰς τὴν πλάνην τοῦ διαβόλου.

7. Ὁ Ἀββᾶς Λογγῖνος εἶπεν εἰς τὸν Ἀββᾶν Ἀκάκιον: Ἡ γυναῖκα τότε μόνον ἀντιλαμβάνεται, ὅτι παρέμεινεν ἔγκυος, ὅταν σταματήσουν τὰ καταμήνια αὐτῆς· τοιουτοτρόπως καὶ ἡ ψυχὴ τότε μανθάνει, ὅτι συνέλαβεν ἐντὸς αὐτῆς τὸ Ἅγιον Πνεῦμα, ὅταν σταματήσουν νὰ ρέουν ἀπὸ αὐτὴν τὰ πάθη τὰ παρασύροντα αὐτὴν πρὸς τὰ κάτω. Ἐφ᾽ ὅσον ὅμως αἰχμαλωτίζεται ἀκόμη ἀπὸ τὰ πάθη αὐτά, πῶς εἶναι δυνατὸν νὰ ὑπερηφανεύεται, ὅτι τάχα εἶναι ἀπαθής; Δῶσε αἷμα καὶ πάρε πνεῦμα· δηλαδὴ ἀγωνίσου μὲ ὅλας σου τὰς δυνάμεις, διὰ νὰ γίνῃς ἄνθρωπος πνευματικός.

8. Ἕνας Μοναχὸς συνήντησε κάποτε εἰς τὸν δρόμον Μοναχάς, ἐκ φόβου δὲ μήπως τὸν πειράξῃ ὁ λογισμὸς ἀπεμακρύνθη ὀλίγον ἀπὸ τὸ σημεῖον διελεύσεως αὐτῶν. Ἡ Ἡγουμένη τῶν Μοναχῶν, μόλις ἀντελήφθη αὐτό, ποὺ ἔκαμεν ὁ ἀδελφός, ἔστρεψε πρὸς τὸ μέρος, ὅπου εὑρίσκετο καὶ τοῦ λέγει:

—Τέκνον μου, καλὰ ἔκαμες, διὰ νὰ προφυλαχθῇς ἀπὸ τὴν ἀσθένειάν σου· ἐὰν ὅμως ἦσουν τέλειος Μοναχός, δὲν θὰ μᾶς ἔβλεπες ὡς γυναῖκας.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου.

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἡσαΐας· ἐὰν ποιῆτε τὰς λειτουργίας ὑμῶν, καὶ μετὰ τὸ ποιῆσαι κινηθῇ τι πάθος ἐν τῇ καρδίᾳ ὑμῶν, πάντες οἱ κόποι ὑμῶν εἰς μάτην εἰσίν· ὁ γὰρ Θεὸς οὐ προσδέχεται αὐτούς.

2. Εἶπεν οὖν αὐτῷ τις τῶν Πατέρων· τί οὖν, οὐ κρούουσι, Πάτερ; Καὶ εἶπεν· ὅταν βρέξῃ ἐπὶ τὴν γῆν, τὴν σπόρον ἔχουσαν, φύει· ἐὰν δὲ μὴ ἔχῃ σπέρμα, πῶς ἔχει βλαστῆσαι; οὕτω καὶ ἐάν τις ἀγωνίσηται ἐκβαλεῖν τὰς παραφύσεις ἐκ τῆς καρδίας αὐτοῦ, οὐκέτι κινοῦνται ἐν αὐτῷ.

3. Ὁ γὰρ Θεὸς θέλει τὸν ἄνθρωπον ὅμοιον Αὐτοῦ εἶναι ἐν πᾶσι, καὶ διὰ τοῦτο ἐπεδήμησε καὶ ἔπαθεν, ἵνα βάλῃ τὴν φύσιν ἡμῶν τὴν σκληρὰν κάτω, καὶ κόψῃ τὰ θελήματα ἡμῶν καὶ τὴν ψευδῆ γνῶσιν τὴν κατακυριεύουσαν ἡμῶν τῆς καρδίας· καὶ γὰρ τὰ ἄλογα ζῶα τὴν ἑαυτῶν φύσιν ἐφύλαξαν, ὁ δὲ ἄνθρωπος τὴν ἰδίαν φύσιν ἐνήλλαξεν.

4. Ἀπαρχῆς γάρ, ὅτε ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἔθετο αὐτὸν ἐν τῷ

Παραδείσῳ, σώας ἔχοντα τὰς αἰσθήσεις, καὶ ἑστηκυίας ἐν τῷ φυσικῷ· ὡς δὲ ἤκουσε τοῦ ἀπατήσαντος αὐτόν, μετεστράφησαν πᾶσαι αἱ αἰσθήσεις αὐτοῦ εἰς παραφύσιν, καὶ τότε ἐῤῥίφθη ἐκ τῆς δυνάμεως αὐτοῦ.

5. Ὁ δὲ Κύριος ἡμῶν ἐποίησε τὸ ἔλεος Αὐτοῦ μετὰ τοῦ γένους ἡμῶν, διὰ τὴν πολλὴν Αὐτοῦ ἀγάπην, ἣν ἠγάπησε τοὺς ἀχαρίστους ἡμᾶς, καὶ ἐνανθρωπήσας μετήλλαξε τὴν παρὰ φύσιν εἰς τὴν κατὰ φύσιν, διὰ τοῦ Ἁγίου αὐτοῦ Σώματος, Οὗ τὴν κοινωνίαν ἡμῖν διὰ τῆς Μεταλήψεως ἐχαρίσατο, καὶ ἐπέστρεψεν ἡμᾶς πάλιν εἰς τὸν Παράδεισον, δοὺς ἡμῖν καὶ ἐντολὰς ἁγίας, αἷς ἐξακολουθοῦντες, δυνησόμεθα νικῆσαι τοὺς ἐκβάλλοντας ἡμᾶς ἐκ τῆς δόξης ἡμῶν, καὶ σταθῆναι πάλιν ἐν τῷ φυσικῷ, ἐν ᾧ ἀπαρχῆς γεγόναμεν.

6. Ἔστι γὰρ ἡ ἐπιθυμία τοῦ κατὰ φύσιν, ἵνα ἐπιθυμῶμεν τῶν ἄνω, καὶ χωρὶς ἐπιθυμίας οὐδὲ ἀγάπη εἰς Θεὸν γίνεται· διὸ καὶ Δανιὴλ ἐκλήθη ἀνὴρ ἐπιθυμιῶν· καὶ μετήλλαξεν ὁ ἐχθρὸς αὐτὴν εἰς ἐπιθυμίαν αἰσχράν, τοῦ ἐπιθυμεῖν πάσης ἀκαθαρσίας.

7. Τοῦ νοῦ ἐστιν ὁ ζῆλος κατὰ φύσιν, καὶ χωρὶς ζήλου οὐδὲ προκοπὴ εἰς Θεόν, καθὼς γέγραπται ἐν τῷ Ἀποστόλῳ· «ζηλοῦ δὲ τὰ χαρίσματα τὰ κρείττονα», καὶ μετηλλάγη ἡμῖν ὁ ζῆλος ὁ εἰς Θεόν, εἰς παρὰ φύσιν, εἰς τὸ ζηλοῦν ἀλλήλους, καὶ φθονεῖν καὶ ψεύδεσθαι ἀλλήλοις.

8. Τοῦ νοός ἐστιν ἡ ὀργὴ κατὰ φύσιν, καὶ δίχα ταύτης οὐδὲ ἁγνεία προσγίνεται τῷ ἀνθρώπῳ, ἐὰν μὴ ὀργισθῇ εἰς πάντα τὰ σπειρόμενα εἰς αὐτὸν παρὰ τοῦ ἐχθροῦ, καὶ μετηλλάγη ἡμῖν ἡ ὀργὴ εἰς τὸ ὀργίζεσθαι τῷ πλησίον περὶ πάντων τῶν ἀνωφελῶν.

9. Τοῦ νοός ἐστι τὸ μῖσος κατὰ φύσιν, εἰς τὸ μισεῖν τὴν ἔχθραν, καὶ χωρὶς τούτου οὐκ ἀποκαλύπτεται τιμὴ τῇ ψυχῇ· καὶ μετηλλάγη ἡμῖν τὸ μῖσος εἰς παρὰ φύσιν, τὸ μισεῖν τὸν πλησίον, καὶ βδελύττεσθαι αὐτόν, ὃ καὶ ἐκδιώκει πάσας τὰς ἀρετάς.

10. Τοῦ νοός ἐστιν ἡ ὑψηλοφροσύνη κατὰ φύσιν, ἐπὶ τῆς ἔχθρας αὐτοῦ εἰς τὸ μὴ ὑπακούειν αὐτῇ καὶ δουλεύειν τοῖς ἀτίμοις πάθεσι· μετηλλάγη δὲ ἡμῖν ἡ ὑψηλοφροσύνη εἰς τὸ κατ' ἀλλήλων ἐπαίρεσθαι, καὶ δικαιοῦν ἑαυτοὺς ὑπὲρ τοὺς πλησίον, διὸ καὶ ἐχθροὶ γεγόναμεν τοῦ Θεοῦ, καὶ ἐταπεινώθημεν τοῖς ἐχθροῖς ἡμῶν. Ἰδοὺ ταῦτα οὕτως ἀπαρχῆς ἐκτισμένα ἦσαν τῷ ἀνθρώπῳ, ὡς δὲ ἔφαγεν ἐκ τῆς παρακοῆς, μετηλλάγη αὐτῷ εἰς παρὰ φύσιν, καὶ ἐδούλευσε τοῖς αἰσχίστοις πάθεσιν.

11. Ὁ θέλων οὖν ἐλθεῖν εἰς τὸ κατὰ φύσιν, ἐκκόπτει πάντα τὰ θελήματα αὐτοῦ, τὰ κατὰ σάρκα, ἀγωνιζόμενος ἕως οὗ στήσῃ ἑαυτὸν ἐν τῷ κατὰ φύσιν· τότε ὁ τοιοῦτος ἀπαθής τε ἐστι καὶ ἀψευδῶς ὀνομάζεται, καὶ τὴν Βασιλείαν τοῦ Θεοῦ ἤδη ἐκληρονόμησε, καθὼς εἶπεν ὁ Σωτὴρ ἡμῶν, οὐκ ἔστιν ἡ Βασιλεία τοῦ Θεοῦ ὧδε ἢ ἐκεῖ, ἀλλ' ἔσωθεν ὑμῶν ἐστιν.

12. Εἰσὶ μὲν οὖν τινες λαλοῦντες τὰ τῆς Βασιλείας, μὴ ἐργαζόμενοι δὲ αὐτά, καὶ εἰσὶν ἕτεροι, ἐργαζόμενοι μὲν τὰ τῆς Βασιλείας, ἀλλ' οὐκ ἐν φυλακῇ, οὐδὲ ἐν γνώσει. Ἐν οἷς δὲ γέγονεν ὁ λόγος τοῦ Σωτῆρος, τό, «ἡ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν», ὀλίγοι εἰσὶ καὶ δυσεύρετοι. Τούτοις ἐπεδήμησε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, καὶ ὄντως «ἐκ Θεοῦ ἐγεννήθησαν», κατὰ τὸν λόγον Ἰωάννου τοῦ Ἀποστόλου, καὶ τὴν εἰκόνα τοῦ χοϊκοῦ ἀποβαλόντες, τὴν εἰκόνα τοῦ ἐπουρανίου ἐφόρεσαν μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν, καὶ τὸν Χριστὸν ἐν ἑαυτοῖς κατοικοῦντα διὰ τῆς πίστεως ἔχοντες.

13. Τούτων «τὸ πνεῦμα, καὶ ἡ ψυχή, καὶ τὸ σῶμα, ἀμέμπτως» ἡνώθησαν διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος, καὶ ἀνέγκλητοι καὶ ἀκατάγνωστοι ὑπὸ τῆς συνειδήσεως μένουσι, τῆς εἰρήνης τοῦ Θεοῦ βραβευούσης ἐν ταῖς καρδίαις αὐτῶν, τούτους οὐκέτι οἱ ἐχθροὶ βλάψαι δύνανται.

14. Ἐὰν γὰρ φθάσῃ ὁ νοῦς θεωρῆσαι τὴν γλυκύτητα τῆς Θεότητος, οὐκέ-

τι τὰ βέλη τῶν ἐναντίων εἰσέρχεται ἐν αὐτῷ· ἐνδεδυμένος γάρ ἐστι τὴν πανοπλίαν τῶν ἀρετῶν, ἥτις φυλάσσει αὐτὸν καὶ φροντίζει αὐτοῦ, καὶ οὐ συγχωρεῖ αὐτὸν ἔν τινι ταράσσεσθαι, ἀλλὰ δίδωσιν αὐτὸν ἀδεῶς σχολάζειν τῇ ἰδίᾳ θεωρίᾳ.

15. Ἐν γὰρ τῇ ὁδῷ τῶν ἀρετῶν ἔστι πτώματα, ἔστι καὶ ἀνόρθωσις, πόλεμος γάρ ἐστιν ἔστιν ἀλλαγή, ἔστιν ἐλάττωσις, ἔστι πλεονασμός· ἔστιν ἐπιθυμία, ἔστι χαρά· ἔστι πόνος, ἔστιν ἀνάπαυσις, ἔστι βία, ἔστι προκοπή· ὁδοιπορία γάρ ἐστιν ἕως φθάσῃ εἰς τὴν κατάπαυσιν.

16. Ἡ δὲ ἀπάθεια μακράν ἐστιν ἀπὸ τούτων πάντων, καὶ οὐ χρείαν ἔχει τινός, ἔστι γὰρ ἐν τῷ Θεῷ, καὶ ὁ Θεὸς ἐν αὐτῇ· ἔχθραν οὐκέτι ἔχει, πτῶμα οὐκέτι ἔχει, οὐκ ἀπιστίαν, οὐ κόπον φυλακῆς, οὐ φόβον πάθους, οὐκ ἐπιθυμίαν τινὸς ὑλικοῦ πράγματος, οὐ πόνον περί τινος ἔχθρας, μεγάλαι γάρ εἰσὶν αἱ δόξαι αὐτῆς καὶ ἀναρίθμητοι.

17. Ἐν ὅσῳ δὲ ἔστι φόβος περί τινος πάθους, μακράν ἐστιν ὁ ἄνθρωπος ἀπ᾽ αὐτῆς, καὶ ἐν ὅσῳ κατηγόρησις ἀνέρχεται ἀπὸ τῆς καρδίας, ξένος ἐστὶν ἀπ᾽ αὐτῆς, καὶ ἐν ὅσῳ ἡ ἀριστερὰ πράττει τι τῶν ἑαυτῆς, οὔπω ἀπέθανεν ἡ ἁμαρτία, οὐδὲ τῆς δεξιᾶς αἱ ἀρεταὶ εἰρηνεύουσι μετ᾽ αὐτοῦ· γέγραπται γάρ, ὅτι «ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοι ἐστὲ ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην», καὶ γὰρ δύο ὁδοί εἰσι, μία τῆς ζωῆς, καὶ μία τοῦ θανάτου.

18. Ὁ οὖν πορευόμενος ἐν τῇ ὁδῷ τῆς ζωῆς, οὐ περιπατεῖ ἐν τῇ ἑτέρᾳ, ὁ δὲ περιπατῶν εἰς τὰς δύο, οὔπω οὐδ᾽ εἰς μίαν ἐλογίσθη, ἀλλ᾽ οὐδὲ ἐπέγνω αὐτὰς τοῦ διακρῖναι ἀπ᾽ ἀλλήλων, ὥστε τὴν μὲν μίαν φεύγειν, τὴν δὲ ἑτέραν ἀγαπᾶν.

19. Εἴ τις γὰρ ἔγνω τὴν γλυκύτητα τῆς δόξης τοῦ Θεοῦ, αὐτὸς ἔγνω τὴν πικρίαν τοῦ ἐχθροῦ· εἴ τις ἔγνω τὴν Βασιλείαν, αὐτὸς ἔγνω τὴν ἀκαθαρσίαν τῶν δυσωδιῶν· εἴ τις ἔγνω τὸν καρπὸν τῶν ἀρετῶν, αὐτὸς ἔγνω τίς ὁ καρπὸς τῆς κακίας· ἐὰν γὰρ μὴ φάγῃ τις ἐξ ἀμφοτέρων, οὐ δύναται ἐπιγνῶναι τὴν διαφορὰν αὐτῶν.

20. Πῶς γάρ τις ἐπιγνώσεται τὴν μανίαν τῆς φιλαργυρίας, ἐὰν μὴ γεύσηται τῆς ἀναπαύσεως τῆς κατὰ Θεὸν πτωχείας; πῶς ἐπιγνώσεται τὴν πικρίαν τῆς ὀξυχολίας, ἐὰν μὴ κτήσηται τὴν γαλήνην τῆς πραότητος; πῶς ἐπιγνώσεται τὴν ταραχὴν τῆς ὀργῆς, ἐὰν μὴ κτήσηται τὴν εἰρήνην τῆς μακροθυμίας; πῶς ἐπιγνώσεται τὴν ἀναίδειαν τῆς ὑπερηφανείας, ἐὰν μὴ κτήσηται τὴν προσοχὴν τῆς ταπεινοφροσύνης; πῶς ἐπιγνώσεται τὴν ταραχὴν τῆς ἀκηδίας, ἐὰν μὴ κατασταθῶσιν αἱ αἰσθήσεις αὐτοῦ, καὶ κατανοήσῃ τὸ φῶς τοῦ Θεοῦ;

21. Καὶ τὰ λοιπὰ δὲ πάθη οὐδαμῶς τις ἐπιγνῶναι δυνήσεται, εἰ μὴ τὰς ἀρετὰς κτήσηται τὰς ἐναντιουμένας αὐτοῖς, καὶ ἀναιρούσας αὐτά· διὰ τοῦτο πολλοὶ ἰδιῶται ἐνόμισαν ἑαυτοὺς φθάσαι εἰς ἀπάθειαν, ἔτι τῶν παθῶν ὄντων ἐν τῇ ψυχῇ, καὶ τοῦ σώματος μὴ παντελῶς καθαρεύοντος.

22. Εἶπεν ὁ αὐτός, ὅτι τοῦτό ἐστι κόπος, ὅτι τὴν ἀπάθειαν ἔχομεν ἐν τῷ στόματι, τὴν δὲ κακίαν καὶ ἀνομίαν ἐν τῇ καρδίᾳ.

23. Πάλιν εἶπεν· ὅτι ἐὰν μὴ ἀγωνίσηται ἄνθρωπος ἕως θανάτου, τοῦ ποιῆσαι τὸ σῶμα αὐτοῦ οἷον ἦλθε φορῶν ὁ ἀγαπητὸς Ἰησοῦς, οὐκ ἀπαντᾷ Αὐτῷ μετὰ χαρᾶς, οὐδὲ ἐξηλᾷ ἀπὸ τῆς πικρᾶς δουλείας.

24. Εἶπε πάλιν· ὁ μὴ εὑρὼν βοήθειαν ἐν καιρῷ πολέμου, οὐδὲ τὴν εἰρήνην πιστεῦσαι δύναται.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἡσαΐας εἶπεν: Ἐὰν ἐκτελῆτε τὰ θρησκευτικά σας καθήκοντα, καὶ ἀφοῦ τελειώσετε, κινηθῇ εἰς τὴν καρδίαν σας

κάποιο πάθος, τότε ὅλοι οἱ κόποι σας ἐπῆγαν χαμένοι, διότι ὁ Θεὸς δὲν τοὺς δέχεται εὐχαρίστως.

2. Μόλις ἤκουσεν αὐτὰ ἕνας ἐκ τῶν Πατέρων, ἠρώτησε τὸν Ἀββᾶν Ἠσαΐαν:

—Τί λοιπόν, Ἀββᾶ, αἱ ἐξωτερικαὶ ἀφορμαὶ δὲν κεντοῦν τὴν καρδίαν, ὥστε νὰ κινηθοῦν ἐν αὐτῇ πάθη;

Ὁ Ἀββᾶς Ἠσαΐας ἀπήντησεν ὡς ἑξῆς:

—Ὅταν βρέξῃ, ἐφ' ὅσον ἡ γῆ ἔχει ἐντὸς αὐτῆς σπόρους, βλαστάνουν· ἐὰν ὅμως οἱ σπόροι δὲν ἔχουν σπέρμα, τότε πῶς εἶναι δυνατὸν νὰ βλαστήσουν; Τοιουτοτρόπως λοιπὸν συμβαίνει καὶ εἰς τὴν ἀνθρωπίνην ψυχήν· ἐὰν κανεὶς ἀγωνισθῇ καὶ ἀποβάλῃ ἀπὸ τὴν καρδίαν του τὰς παρὰ φύσιν καταστάσεις, αἱ ὁποῖαι ἀποτελοῦν τὰ σπέρματα τῶν παθῶν, παύουν πλέον αἱ κινήσεις τῶν παθῶν εἰς τὸν ἄνθρωπον αὐτόν.

3. Εἰς αὐτὸν τὸν ἀγῶνα τοῦ ἀνθρώπου βοηθεῖ καὶ ἡ Χάρις τοῦ Θεοῦ· διότι ὁ Θεὸς θέλει νὰ εἶναι εἰς ὅλα ὁ ἄνθρωπος ὅμοιός Του, καὶ δι' αὐτὸ ἦλθεν εἰς τὸν κόσμον καὶ ἔπαθεν ὡς ἄνθρωπος, διὰ νὰ ὑποτάξῃ τὴν σκληρὰν ἡμῶν φύσιν, καὶ κόψῃ τὰ θελήματα ἡμῶν, καὶ νὰ ἐξουδετερώσῃ τὴν ψευδῆ γνῶσιν, ποὺ κατακυριεύει τὰς καρδίας ἡμῶν. Διότι ἐνῷ τὰ ἄλογα ζῷα διετήρησαν τὴν φύσιν των, ὁ ἄνθρωπος, ἀντιθέτως, παρήλλαξε τὴν φύσιν του.

4. Ἀπὸ τὴν ἀρχήν, ὅταν ἐδημιούργησεν ὁ Θεὸς τὸν ἄνθρωπον, τὸν ἐτοποθέτησεν εἰς τὸν Παράδεισον· εἰς τὸ περιβάλλον τοῦ Παραδείσου ὁ ἄνθρωπος εἶχε σώας τὰς αἰσθήσεις του καὶ ἑδραιωμένας εἰς τὴν φυσικήν των κατάστασιν. Μόλις ὅμως ἐδέχθη τὴν συμβουλὴν τοῦ διαβόλου, ποὺ τὸν ἐξηπάτησε, διεστράφησαν ὅλαι αἱ αἰσθήσεις αὐτοῦ ἀπὸ τὴν κατὰ φύσιν κατάστασιν εἰς τὴν παρὰ φύσιν, ὁπόταν ἐξέπεσε καὶ ἀπὸ τὴν ἀρχικὴν αὐτοῦ ἠθικὴν καὶ πνευματικὴν δύναμιν.

5. Ὁ Κύριός μας ὅμως ἠλέησε τὸ γένος ἡμῶν, ἀπὸ τὴν πολλήν Του ἀγάπην, διὰ τῆς ὁποίας ἠγάπησεν ἡμᾶς τοὺς ἀχαρίστους, καὶ διὰ τῆς θείας Αὐτοῦ ἐνανθρωπήσεως ἤλλαξε καὶ πάλιν τὴν παρὰ φύσιν κατάστασιν τοῦ ἀνθρώπου, εἰς τὴν κατὰ φύσιν.

Τὴν μεταστροφὴν καὶ μεταλλαγὴν αὐτὴν ἐπέτυχε διὰ τοῦ Ἁγίου Αὐτοῦ Σώματος· ἐχάρισε δὲ εἰς ἡμᾶς τὴν δυνατότητα νὰ ἐπικοινωνῶμεν μὲ τὸ Ἅγιον Αὐτοῦ Σῶμα διὰ τῆς Θείας Μεταλήψεως. Τοιουτοτρόπως μᾶς ἐπανέφερε καὶ πάλιν εἰς τὸν Παράδεισον καὶ μᾶς ἔδωσεν ἐντολὰς ἁγίας, τὰς ὁποίας, ἐφ' ὅσον θὰ ἐφαρμόσωμεν, θὰ δυνηθῶμεν νὰ νικήσωμεν αὐτούς, ποὺ μᾶς βγάζουν ἔξω ἀπὸ τὴν δόξαν ἡμῶν, καὶ νὰ ἐγκατασταθῶμεν καὶ πάλιν εἰς τὸ φυσικὸν πνευματικὸν περιβάλλον, εἰς τὸ ὁποῖον εὐθὺς ἐξ ἀρχῆς ἐτοποθετήθημεν ὑπὸ τοῦ Δημιουργοῦ.

6. Διότι ἡ κατὰ φύσιν ἐπιθυμία τοῦ ἀνθρώπου συνίσταται εἰς τὴν ἐπιπόθησιν τῶν ἄνω· χωρὶς δὲ τῆς ἐπιθυμίας αὐτῆς, οὔτε ἀγάπη πρὸς τὸν Θεὸν δύναται νὰ ὑπάρξῃ. Δι' αὐτὸ καὶ ὁ Δανιὴλ ὠνομάσθη ἀνὴρ ἐπιθυμιῶν (διότι ἡ ἐπιθυμία του ἐφέρετο πρὸς τὰ ἄνω καὶ ὄχι

πρὸς τὰ γήϊνα). Αὐτὴν ὅμως τὴν ἐπιθυμίαν ὁ ἐχθρός, ὁ διάβολος, τὴν μετέβαλεν εἰς αἰσχράν, διὰ νὰ ἐπιθυμῇ ὁ ἄνθρωπος τὰς διαφόρους ἀνηθίκους ἀκαθαρσίας.

7. Κατὰ φύσιν κατάστασις τοῦ νοῦ εἶναι ὁ ζῆλος· καὶ χωρὶς αὐτὸν τὸν ζῆλον, δὲν εἶναι δυνατὸν νὰ ὑπάρξῃ κατὰ Θεὸν προκοπή· δι' αὐτὸ καὶ ὁ Ἀπόστολος Παῦλος γράφει· «ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα» (Α' Κορ. ιβ' 31), ἐπιποθήσατε δηλαδὴ σφοδρῶς τὰ χαρίσματα τὰ ἀνώτερα. Αὐτὸς ὅμως ὁ ζῆλος πρὸς τὸν Θεὸν μετεστράφη εἰς παρὰ φύσιν καὶ ἐγένετο ζηλοτυπία, διὰ νὰ ζηλεύωμεν ὁ ἕνας τὸν ἄλλον, καὶ νὰ ἀλληλοφθονούμεθα, καὶ νὰ ψευδώμεθα μεταξύ μας.

8. Φυσικὴ κατάστασις τοῦ νοῦ εἶναι ἡ ὀργή· χωρὶς αὐτὴν δὲν δύναται ὁ ἄνθρωπος νὰ ἐπιτύχῃ τὴν ἁγνότητα τῆς ψυχῆς, διότι ἐπιβάλλεται νὰ ὀργισθῇ δι' ὅλα ὅσα ὁ ἐχθρὸς ἐμβάλλει εἰς τὸν ἀνθρώπινον νοῦν. Αὐτὴ ὅμως ἡ φυσικὴ ὀργὴ κατὰ τοῦ διαβόλου, μετεστράφη καὶ οὕτως ὀργιζόμεθα ἐναντίον τῶν συνανθρώπων μας δι' ὅλα ὅσα δὲν μᾶς ὠφελοῦν.

9. Φυσικὴ κατάστασις τοῦ νοῦ εἶναι τὸ μῖσος, διὰ νὰ μισῶμεν τὴν ἔχθραν, χωρὶς δὲ αὐτὸ τὸ μῖσος δὲν ἀποκαλύπτεται τιμὴ εἰς τὴν ψυχήν μας. Αὐτὸ ὅμως τὸ κατὰ τῆς ἔχθρας μῖσος μετεστράφη εἰς παρὰ φύσιν μῖσος, διὰ νὰ μισῶμεν καὶ νὰ ἀποστρεφώμεθα τὸν πλησίον, πρᾶγμα τὸ ὁποῖον ἀποδιώκει ἐκ τῆς ψυχῆς μας ὅλας τὰς ἀρετάς.

10. Φυσικὴ κατάστασις τοῦ νοῦ εἶναι ἡ ὑψηλοφροσύνη ποὺ στηρίζεται εἰς τὴν ἔχθραν αὐτοῦ ἐναντίον τῶν παθῶν, διὰ νὰ μὴ ὑπακούῃ αὐτὸς καὶ ὑπηρετῇ ὡς δοῦλος εἰς τὰ ἄτιμα πάθη. Μετεστράφη ὅμως ὑπὸ τοῦ διαβόλου ἐντὸς ἡμῶν ἡ ὑψηλοφροσύνη καὶ μετεβλήθη εἰς ἀδικαιολόγητον κατὰ τῶν συνανθρώπων μας ἔπαρσιν καὶ εἰς ἀστήρικτον δικαίωσιν τῶν ἑαυτῶν μας εἰς βάρος τοῦ πλησίον· δι' αὐτὸ καὶ ἐγίναμεν ἐχθροὶ τοῦ Θεοῦ καὶ ἐταπεινώθημεν ἀπὸ τοὺς ἐχθροὺς ἡμῶν. Τοιουτοτρόπως εἶχον ἐξ ἀρχῆς τεθῆ αἱ καταστάσεις αὐταὶ εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου· μόλις ὅμως ἐγεύθη τὸν πικρὸν καρπὸν τῆς παρακοῆς, ὅλα αὐτὰ μετεστράφησαν εἰς παρὰ φύσιν καταστάσεις καὶ παρέσυραν τὸν ἄνθρωπον εἰς τὸ νὰ ὑπηρετῇ ὡς δοῦλος τὰ αἰσχρότατα πάθη.

11. Ἐκεῖνος λοιπὸν ποὺ ἐπιθυμεῖ νὰ ἐπανέλθῃ εἰς τὴν κατὰ φύσιν κατάστασιν, πρέπει νὰ κόψῃ ὅλα τὰ θελήματα τῆς σαρκὸς καὶ νὰ ἀγωνισθῇ, μέχρις ὅτου σταθῇ ἀμετακινήτως εἰς τὴν κατὰ φύσιν κατάστασιν. Τότε, ὁ κατὰ τοιοῦτον τρόπον ἀγωνισθεὶς ἄνθρωπος, εἶναι πράγματι ἀπαθής, καὶ δικαίως χαρακτηρίζεται τοιοῦτος, ἀπὸ δὲ τὴν παροῦσαν ζωὴν ἐκληρονόμησε τὴν Βασιλείαν τῶν οὐρανῶν, συμφώνως καὶ μὲ τοὺς λόγους τοῦ Σωτῆρος, ὅτι ἡ Βασιλεία τοῦ Θεοῦ δὲν εὑρίσκεται ἐδῶ καὶ ἐκεῖ, ἀλλ' ὑπάρχει μέσα μας· «ἡ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ἡμῶν ἐστιν» (Λουκ. ιζ' 21).

12. Ὑπάρχουν μερικοὶ ἄνθρωποι, ποὺ ὁμιλοῦν καὶ λέγουν διὰ τὴν Βασιλείαν τοῦ Θεοῦ, δὲν ἐκτελοῦν ὅμως ὅσα πρέπει, διὰ τὴν κλη-

ρονομίαν αὐτῆς· καὶ ὑπάρχουν πάλιν ἄλλοι, ποὺ ἐργάζονται διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν, χωρὶς ὅμως νὰ ἀσφαλίζωνται καὶ νὰ ἔχουν ἐπίγνωσιν τῆς ἐργασίας των αὐτῆς. Πολὺ δὲ ὀλίγοι καὶ δυσκολοεύρετοι εἶναι ἐκεῖνοι, περὶ τῶν ὁποίων εἶπεν ὁ Σωτήρ· «ἡ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν» (Λουκ. ιζ' 21). Εἰς αὐτοὺς δὲ τοὺς ἐκλεκτοὺς ἐπεδήμησε πράγματι τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, καὶ ἀληθῶς ἐκ Θεοῦ ἐγεννήθησαν, συμφώνως μὲ τὸν λόγον τοῦ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ «... ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν» (Ἰωάν. α' 13)· οἱ τοιοῦτοι ἠδυνήθησαν νὰ ἀποβάλλουν τὴν εἰκόνα τοῦ χοϊκοῦ ἀνθρώπου καὶ νὰ φορέσουν τὴν εἰκόνα τοῦ ἐπουρανίου (Α' Κορ. ιε' 49), μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν καὶ ἔχοντες, διὰ τῆς πίστεως, κάτοικον τῆς ψυχῆς των τὸν Χριστόν.

13. Τούτων τῶν ἀνθρώπων καὶ «τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως», καθὼς ὁ θεῖος Παῦλος λέγει (Α' Θεσ. ε' 23), ἡνώθησαν, διὰ τῆς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος, εἰς τρόπον ὥστε νὰ μὴ ἀνταγωνίζωνται μεταξύ των· δι᾽ αὐτὸ καὶ ἡ συνείδησίς των οὔτε τοὺς ἐλέγχει, οὔτε τοὺς κατηγορεῖ, ἡ δὲ εἰρήνη τοῦ Θεοῦ κυβερνᾷ τὰς καρδίας των καὶ τοὺς ἐπιβραβεύει μὲ τὴν γαλήνην· αὐτοὺς πλέον δὲν δύνανται νὰ τοὺς βλάψουν οἱ ἐχθροὶ τῆς ψυχῆς, οἱ δαίμονες.

14. Διότι ὅταν φθάσῃ ὁ νοῦς νὰ ἀπολαμβάνῃ διὰ τῶν ψυχικῶν ὀφθαλμῶν τὴν γλυκύτητα τῆς Θεότητος, δὲν δύνανται πλέον τὰ βέλη τῶν ἐχθρῶν νὰ εἰσέλθουν εἰς αὐτόν, ἐπειδὴ ἔχει ἐνδυθῆ τὴν πανοπλίαν τῶν ἀρετῶν, ἡ ὁποία τὸν φρουρεῖ, τὸν φροντίζει, καὶ δὲν ἐπιτρέπει εἰς αὐτὸν νὰ ταράσσεται διὰ τίποτε τὸ πρόσκαιρον καὶ γήϊνον, ἀλλὰ τοῦ ἐξασφαλίζει τὴν δωρεὰν νὰ ἀφοσιώνεται ἀφόβως καὶ ἀπερισπάστως εἰς τὴν ζωηρὰν μελέτην τῆς πνευματικῆς εἰκόνος τῆς ψυχῆς του καὶ τὴν ὑψηλὴν θεωρίαν.

15. Ἂς μὴ λησμονῶμεν, ὅτι εἰς τὴν ὁδὸν διὰ τὴν πραγματοποίησιν τῶν ἀρετῶν ὑπάρχουν πτώσεις, ὑπάρχει καὶ ἀνόρθωσις, ἐφ᾽ ὅσον εἶναι πόλεμος τῆς ψυχῆς ἐναντίον τοῦ κακοῦ καὶ προσπάθεια ἀλλαγῆς ζωῆς· εἰς τὸν ἀγῶνα αὐτὸν τῆς ψυχῆς, διὰ τὴν ἀρετήν, εἶναι ἐνδεχόμενον ὁ ἄνθρωπος νὰ ζημιωθῇ, ἢ νὰ κερδίσῃ· εἰς τὴν προσπάθειαν αὐτὴν ὑπάρχει ἡ ἐπιθυμία τῆς τελειότητος καὶ ἡ χαρὰ διὰ τὸν διεξαγόμενον ἀγῶνα· ὑπάρχει κόπος, ὑπάρχει καὶ ἀνάπαυσις· ὑπάρχει σκληραγωγία, ὑπάρχει καὶ προκοπή, διότι εἶναι μία ὁδοιπορία μέχρις ὅτου φθάσῃ κανεὶς εἰς τὸν τελικὸν προορισμὸν καὶ νὰ σταματήσῃ πᾶσαν προσπάθειαν καὶ πάντα ἀγῶνα.

16. Ἡ ἀπάθεια εὑρίσκεται μακρὰν ὅλων αὐτῶν τῶν ψυχικῶν μεταλλαγῶν καὶ δὲν ἔχει ἀνάγκην ἀπὸ τίποτε, διότι ὁ ἀπαθὴς εὑρίσκεται ἐν τῷ Θεῷ καὶ ὁ Θεὸς ἐν τῷ ἀπαθεῖ· ἡ ἀπάθεια τίποτε δὲν ἐχθρεύεται πλέον, δὲν κινδυνεύει νὰ πέσῃ πτῶμα, δὲν ταλαντεύεται ἀπὸ ἀμφιβολίας, δὲν ἔχει ἀνάγκην ἀπὸ τὸν κόπον τῆς ἐπαγρυπνήσεως, δὲν φοβεῖται πάθος, δὲν ἐπιθυμεῖ ὑλικὸν πρᾶγμα, δὲν αἰσθάνεται τὸν ἐκ τῆς

ἔχθρας τῶν ἄλλων πόνον καὶ τὸ ἔνδοξον αὐτῆς μεγαλεῖον εἶναι μέγα καὶ ἀσύγκριτον.

17. Ἐφ᾽ ὅσον ὅμως ὑπάρχει φόβος διὰ τὴν ὕπαρξιν ἔστω καὶ ἑνὸς πάθους, τότε ὁ ἄνθρωπος εὑρίσκεται μακρὰν ἀπὸ τὴν κατάστασιν τῆς ἀπαθείας, καὶ ἐφ᾽ ὅσον κατηγορεῖ ἡ καρδία, τότε αὐτὸς ὁ ἄνθρωπος εἶναι τελείως ξένος πρὸς τὴν ἀπάθειαν· ἀλλὰ καὶ ἐφ᾽ ὅσον ἡ ἀριστερὰ κάμνει κάτι ἀπὸ τὰ ἰδικά της, δὲν ἀπέθανεν ἀκόμη ἡ ἁμαρτία, ἀλλ᾽ οὔτε καὶ αἱ ἀρεταί, τὰς ὁποίας πραγματοποιεῖ ἡ δεξιά, δύνανται νὰ ἐξασφαλίσουν εἰς τὴν ψυχὴν τοῦ τοιούτου ἀνθρώπου τὴν γαλήνην καὶ τὴν εἰρήνην. Διότι εἶναι γραμμένον εἰς τὴν Ἁγίαν Γραφήν· «δὲν γνωρίζετε ὅτι εἶσθε πράγματι δοῦλοι ἐκείνου εἰς τὸν ὁποῖον προσφέρετε τοὺς ἑαυτούς σας, ὑποτασσόμενοι εἰς τὰ θελήματά του, ὅτι δηλαδὴ εἶσθε ἢ δοῦλοι τῆς ἁμαρτίας, ἡ ὁποία ὁδηγεῖ εἰς πνευματικὸν θάνατον, ἢ δοῦλοι τῆς ὑπακοῆς εἰς Χριστόν, ἡ ὁποία ὁδηγεῖ εἰς τὴν αἰωνίαν ζωήν»; (Ρωμ. ς' 16). Καὶ τοῦτο, διότι δύο μόνον δρόμοι ὑπάρχουν, ποὺ ὁδηγοῦν ὁ ἕνας πρὸς τὴν ζωὴν καὶ ὁ ἄλλος πρὸς τὸν θάνατον.

18. Αὐτὸς λοιπὸν ποὺ ἀκολουθεῖ τὸν δρόμον τῆς ζωῆς, δὲν θὰ περιπατήσῃ ποτὲ εἰς τὸν ἄλλον δρόμον· ἐκεῖνος πάλιν ποὺ περιπατεῖ πότε εἰς τὸν ἕνα δρόμον καὶ πότε εἰς τὸν ἄλλον, δὲν ὑπολογίζεται νὰ βαδίζῃ κανένα δρόμον ἀκόμη, ἀλλ᾽ οὔτε καὶ ἐγνώρισε βαθέως αὐτούς, ὥστε νὰ τοὺς ξεχωρίσῃ μεταξύ των, νὰ ἀποφύγῃ τὸν ἕνα δρόμον (τοῦ θανάτου) καὶ νὰ ἀγαπήσῃ τὸν ἄλλον (τῆς ζωῆς).

19. Διότι ὅποιος ἐγνώρισε τὴν γλυκύτητα τῆς δόξης τοῦ Θεοῦ, αὐτὸς ἐγνώρισε καὶ τὴν πικρίαν τοῦ ἐχθροῦ· ὅποιος ἐγνώρισε τὴν καθαρότητα τῆς Βασιλείας, αὐτὸς ἐγνώρισε τὴν ἀκαθαρσίαν τῶν βρωμερῶν παθῶν· ὅποιος ἐγνώρισε τὸν καρπὸν τῶν ἀρετῶν, αὐτὸς ἐγνώρισε καὶ ποιὸς εἶναι ὁ καρπὸς τῆς κακίας· διότι ἐὰν κανεὶς δὲν φάγῃ καὶ ἀπὸ τοὺς δύο, δὲν δύναται νὰ γνωρίσῃ τὴν διαφορὰν αὐτῶν.

20. Διότι πῶς εἶναι δυνατὸν νὰ κατανοήσῃ κανεὶς τὴν μανίαν τῆς φιλαργυρίας, ἐὰν δὲν γευθῇ ὁ ἴδιος τὴν ἀνάπαυσιν τῆς συνειδήσεως, ποὺ χαρίζει ἡ κατὰ Θεὸν πτωχεία; πῶς θὰ κατανοήσῃ πόσην πικρίαν δοκιμάζει ὁ εὐέξαπτος καὶ εὐερέθιστος, ἐὰν δὲν ἀποκτήσῃ εἰς τὴν ψυχήν του τὴν γαλήνην τῆς πραότητος; πῶς θὰ διαπιστώσῃ τὴν ταραχήν, ποὺ προκαλεῖ ἡ ὀργή, ἐὰν δὲν ἀποκτήσῃ τὴν εἰρήνην, ποὺ προσφέρει ἡ μακροθυμία; πῶς θὰ καταλάβῃ τὴν ἀδιαντροπιὰν τῆς ὑπερηφανείας, ἐὰν δὲν ἀποκτήσῃ τὴν συστολὴν καὶ τὴν προσοχὴν τῆς ταπεινοφροσύνης; πῶς θὰ ἐννοήσῃ τὴν ταραχὴν τῆς ψυχῆς, ποὺ γεννᾷ ἡ ἀκηδία, ἐὰν προηγουμένως δὲν ἠρεμήσουν αἱ αἰσθήσεις του καὶ δὲν δυνηθῇ οὕτω νὰ ἴδῃ διὰ τῶν ὀμμάτων τῆς διανοίας τὸ φῶς τοῦ Θεοῦ;

21. Κατ᾽ ἀναλογίαν καὶ τὰ ὑπόλοιπα πάθη οὐδόλως θὰ δυνηθῇ νὰ ἀντιληφθῇ κανείς, ἐὰν δὲν ἀποκτήσῃ τὰς ἀντιθέτους πρὸς τὰ πάθη αὐτὰ ἀρετάς, ποὺ τὰ καταργοῦν. Δι᾽ αὐτὸ καὶ πολλοὶ ἀμαθεῖς εἰς τὰ πνευματικὰ ἐνόμισαν, ὅτι ἔφθασαν εἰς ἀπάθειαν, ἐνῷ ἀκόμη τὰ

ψυχοφθόρα πάθη ὑπῆρχον εἰς τὴν ψυχήν των καὶ τὸ σῶμα των δὲν ἐκαθάρευε τελείως.

22. Ὁ ἴδιος εἶπεν: αὐτὸ εἶναι τὸ δύσκολον, ὅτι δηλαδὴ ἔχομεν τὴν ἀπάθειαν εἰς τὸ στόμα, ἐνῷ εἰς τὴν καρδίαν ἡμῶν βασιλεύει ἡ ἀνομία καὶ ἡ κακία.

23. Πάλιν εἶπεν: Ἐὰν ὁ ἄνθρωπος δὲν ἀγωνισθῇ μέχρι θανάτου, διὰ νὰ ἐξαγνίσῃ τὸ σῶμα του καὶ νὰ τὸ καταστήσῃ ὅπως ἐκεῖνο, ποὺ ἐφόρει ὁ ἀγαπητὸς Ἰησοῦς, ὅταν ἦλθεν εἰς τὸν κόσμον, δὲν συναντᾷ τὸν Ἰησοῦν χαρούμενος, οὔτε ἀπαλλάσσεται ἀπὸ τὴν πικρὰν δουλείαν (τῶν παθῶν).

24. Εἶπε πάλιν: ἐκεῖνος ποὺ δὲν εὗρε βοήθειαν κατὰ τὴν περίοδον τοῦ πολέμου, δὲν δύναται οὔτε εἰς τὴν εἰρήνην νὰ ἔχῃ ἐμπιστοσύνην.

Γ'. Τοῦ Ἀββᾶ Μάρκου.

Ο ΔΙΑΠΕΡΑΣΑΙ θέλων τὴν νοητὴν θάλασσαν ταπεινοφρονεῖ, μακροθυμεῖ, ἀγρυπνεῖ, ἐγκρατεύεται· ἐκτὸς δὲ τῶν τεσσάρων τούτων ἐὰν εἰσελθεῖν βιάσηται, θορυβεῖ μὲν τὴν καρδίαν, περάσαι δὲ οὐ δύναται.

2. Ἡσυχία ὠφελεῖ, τῶν κακῶν ἀργήσασα· ἐὰν δὲ καὶ τὰς τέσσαρας ἀρετὰς ἐν προσευχῇ προσλάβηται, βοήθημα πρὸς ἀπάθειαν οὐδὲν αὐτῆς συντομώτερον.

3. Οὐκ ἔστιν ἡσυχάσαι τὸν νοῦν ἄνευ σώματος, οὔτε λύσαι τὸ τούτων μεσότοιχον ἄνευ ἡσυχίας καὶ προσευχῆς.

4. «Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός»· οἱ δὲ πνεύματι περιπατοῦντες ἐπιθυμίας σαρκὸς οὐ μὴ τελέσωσι.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ποὺ θέλει νὰ περάσῃ τὴν νοητὴν θάλασσαν, ταπεινοφρονεῖ, μακροθυμεῖ, ἀγρυπνεῖ, ἐγκρατεύεται· ἐὰν δὲ κανεὶς ἐξαναγκάσῃ τὸν ἑαυτόν του νὰ εἰσέλθῃ εἰς τὴν θάλασσαν αὐτήν, χωρὶς τὰ τέσσαρα αὐτὰ ἐφόδια, δηλαδὴ τὴν ταπεινοφροσύνην, τὴν μακροθυμίαν, τὴν ἀγρυπνίαν, τὴν ἐγκράτειαν, θορυβεῖ μὲν τὴν καρδίαν του, διὰ τῆς προσπαθείας, δὲν δύναται ὅμως νὰ περάσῃ.

2. Ἡ ἡσυχία τότε μόνον ὠφελεῖ, ὅταν ἀδρανήσουν τὰ κακὰ καὶ τὰ πάθη. Ἐὰν ὁ ἄνθρωπος προσλάβῃ, μαζὶ μὲ τὴν ἡσυχίαν, διὰ τῆς προσευχῆς, καὶ τὰς τέσσαρας ἀρετάς, ἀσφαλῶς τότε ἀποκτᾷ πολύτιμον βοήθημα πρὸς ἐπιτυχίαν τῆς ἀπαθείας. Ἡ ἐνισχυμένη, διὰ τῶν ἀρετῶν αὐτῶν, ἡσυχία ἀποβαίνει τὸ συντομώτερον μέσον διὰ τὴν ἀπόκτησιν τῆς ἀπαθείας.

3. Δὲν εἶναι δυνατὸν νὰ ἡσυχάσῃ ὁ νοῦς, χωρὶς τὸ σῶμα· ἀλλ' οὔτε νὰ κατακρημνισθῇ τὸ τεῖχος ποὺ τὰ χωρίζει, χωρὶς τὴν ἡσυχίαν καὶ τὴν προσευχήν.

4. «Διότι ἡ σὰρξ ἐπιθυμεῖ τὰ ἀντίθετα τοῦ πνεύματος· τὸ δὲ

πνεῦμα τὰ ἀντίθετα πρὸς τὴν σάρκα» (Γαλ. ε' 17), ἐκεῖνοι δὲ ποὺ περιπατοῦν κατὰ τὰς ἐμπνεύσεις καὶ ἐπιταγὰς τοῦ πνεύματος, δὲν θὰ ἐκπληρώσουν ποτὲ τὴν ἐπιθυμίαν τῆς σαρκός.

Δ'. Τοῦ Ἁγίου Διαδόχου.

ΑΠΑΘΕΙΑ ἐστιν οὐ τὸ μὴ πολεμεῖσθαι ὑπὸ τῶν δαιμόνων, ἐπεὶ ἄρα ὀφείλομεν ἐξεληλυθέναι ἐκ τοῦ κόσμου, κατὰ τὸν Ἀπόστολον, ἀλλὰ τὸ πολεμουμένους ὑπ' αὐτῶν, ἀπολεμήτους μένειν· καὶ γὰρ οἱ σιδηροφόροι πολεμισταὶ τοξεύονται μὲν παρὰ τῶν ἀντιπάλων, καὶ τοῦ ἤχου τῆς τοξίας ἀκούουσιν, ἀλλὰ καὶ αὐτὰ βλέπουσι τὰ πεμπόμενα κατ' αὐτῶν βέλη σχεδὸν ἅπαντα, οὐ πλήττονται δὲ διὰ τὴν τῶν πολεμικῶν ἐνδυμάτων στεῤῥότητα.

2. Ἀλλ' ἐκεῖνοι μὲν σιδήρῳ φραττόμενοι, ἐν τῷ πολεμεῖσθαι τὸ ἀπολέμητον ἔχουσιν, ἡμεῖς δὲ τῇ τοῦ φωτὸς τοῦ Ἁγίου Πνεύματος πανοπλίᾳ, καὶ τῇ τοῦ Σωτῆρος περικεφαλαίᾳ, διὰ πάντων τῶν καλῶν ἔργων καθοπλιζόμενοι, τὰς σκοτεινὰς τῶν δαιμόνων κόψωμεν φάλαγγας· οὐ γὰρ τὸ μηκέτι μόνον πρᾶξαι τὰ κακὰ καθαρότητα φέρει, ἀλλὰ καὶ τὸ ἐπιμελείᾳ τῶν καλῶν, κατὰ κράτος ἀθετῆσαι τὰ κακά.

Ἑρμηνεία

ΑΠΑΘΕΙΑ εἶναι ὄχι τὸ νὰ μὴ πολεμούμεθα ὑπὸ τῶν δαιμόνων, ἐπειδὴ ἔχομεν ὑποχρέωσιν, κατὰ τὸν Ἀπόστολον, νὰ ἐξέλθωμεν ἐκ τοῦ κόσμου (βλ. Α' Κορ. ε' 10 καὶ Β' Κορ. ϛ' 17), ἀλλὰ τὸ νὰ παραμείνωμεν ἀνίκητοι κατὰ τὴν διεξαγωγὴν τοῦ πολέμου αὐτοῦ. Ἂς παραδειγματισθῶμεν ἀπὸ τοὺς φέροντας σιδηρᾶς πανοπλίας πολεμιστάς· οὗτοι δηλαδὴ τοξεύονται μὲν ἀπὸ τοὺς ἀντιπάλους καὶ ἀκούουσι τὸν συριγμὸν τοῦ ριπτομένου κατ' αὐτῶν βέλους, ἀκόμη δὲ βλέπουν καὶ τὰ κατ' αὐτῶν στελλόμενα βέλη, δὲν πληγώνονται ὅμως ἀπὸ αὐτὰ ἐξ αἰτίας τῆς στερεότητος τῶν πολεμικῶν ἐνδυμάτων.

2. Αὐτοὶ λοιπὸν οἱ πολεμισταὶ περικλειόμενοι διὰ τοῦ σιδήρου, ἐνῷ πολεμοῦν, παραμένουν ἀκατάβλητοι· καὶ ἡμεῖς ἐξοπλιζόμενοι μὲ τὴν πανοπλίαν τοῦ φωτὸς τοῦ Ἁγίου Πνεύματος, τὴν περικεφαλαίαν τοῦ Σωτῆρος (βλ· Ἐφεσ. ϛ' 13—17), ἀλλὰ καὶ μὲ ὅλα τὰ καλὰ ἔργα, ἀσφαλῶς θὰ κατακόψωμεν, ὡς γενναῖοι πολεμισταί, τὰς σκοτεινὰς φάλαγγας τῶν δαιμόνων. Διότι τὴν καθαρότητα δὲν τὴν φέρει τὸ νὰ μὴ πράξωμεν ποτὲ τὰ κακά, ἀλλὰ καὶ τὸ νὰ ἀπορρίψωμεν τελείως πᾶσαν κακότητα, διὰ τῆς ἀντιστοίχου φροντίδος τοῦ ἀγαθοῦ καὶ τῶν ἀρετῶν· «ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν», καθὼς λέγει ὁ Προφητάναξ Δαβίδ (Ψαλμ. λγ' 15)·

Ε'. Τοῦ Ἀββᾶ Ἰσαάκ.

Ἐρώτησις

ΠΟΘΕΝ τις ἐπιγινώσκει εἰ ἔφθασεν εἰς τὴν καθαρότητα τῆς καρδίας, καὶ αὐτὴ δὲ ἡ τῆς καρδίας καθαρότης τί ἐστιν;

Ἀπόκρισις

2. Ὅταν πάντας ἀνθρώπους καλοὺς θεωρῇ, καὶ οὐχ ὁρᾶται τις αὐτῷ ἀκά-

θαρτος καὶ βέβηλος, τότε ἐστὶν ἀληθῶς καθαρὸς τῇ καρδίᾳ. Πᾶς γάρ τις ἐν αἰσθήσει καὶ εἰλικρινεῖ διαθέσει καρδίας, πάντας ὑπερέχοντας ἑαυτοῦ ἐπίσης ἡγεῖσθαι δύναται, κατὰ τὸ τοῦ Ἀποστόλου παράγγελμα, εἰ φθάσῃ εἰς ἐκεῖνο τὸ εἰρημένον· καθαρὸς ὁ ὀφθαλμός του μὴ ὁρᾶν πονηρά.

3. Ἡ οὖν καθαρότης ἐστὶ ἡ παντελὴς λήθη καὶ ἄγνοια τῶν τρόπων τῆς παραφύσεως, ὧν ἐκ τε τῆς παρακοῆς καὶ τῶν ἐν τῷ κόσμῳ πραγμάτων ἐφεῦρεν ἡ φύσις καὶ ηὔξησεν· ὁ οὖν ἔξω αὐτῶν γεγονώς, μᾶλλον δὲ ὁ ἐξ ἑαυτοῦ πάντα τὰ παρὰ φύσιν ἀποβαλών, καὶ λήθην αὐτῶν διὰ τὴν ἀπραξίαν καὶ ἄγνοιαν σχών, δῆλός ἐστιν, ὡς τὴν πρώτην τῆς φύσεως ἁπλότητα καὶ ἀκακίαν ἀπέλαβε καὶ γέγονεν ὡς τὸ νήπιον τὸ ἀκέραιον, χωρὶς τῶν ἐλαττωμάτων τοῦ νηπίου.

Ἐρώτησις.

4. Ἐνδέχεταί τινα ἐλθεῖν εἰς τὴν κατάστασιν ταύτην;

Ἀπόκρισις

5. Ναί· ἰδοὺ ὁ Ἀββᾶς Σισώης ἦλθεν εἰς τὸ μέτρον τοῦτο, ὡς καὶ τὸν μαθητὴν αὐτοῦ ἐρωτᾶν περὶ ἑαυτοῦ εἰ ἔφαγεν ἢ οὔ.

6. Καὶ ἕτερος δέ τις τῶν Πατέρων εἰς τοιαύτην ἦλθεν ἁπλότητα, καὶ ἐξέστη παντελῶς τῶν ἐνταῦθα, ὡς ἐπιλανθάνεσθαι καὶ ἐσθίειν πρὸ τῆς ἁγίας Μεταλήψεως, εἶτα προσιέναι τῇ Κοινωνίᾳ, ἀγνοοῦντα εἰς ὅλως ἔφαγεν, εἰ μήτοιγε ὑπὸ τῶν μαθητῶν αὐτοῦ ἐκωλύετο, οἳ καὶ ἦγον αὐτὸν ὡς νήπιον ἐπὶ τὴν Κοινωνίαν. Καὶ τῷ μὲν κόσμῳ νήπιος ἦν, τῇ δὲ ψυχῇ πρὸς Θεὸν τέλειος.

Ἑρμηνεία

Ἐρώτησις

ΑΠΟ ποῦ καταλαβαίνει κανείς, ἐὰν ἔφθασεν εἰς τὴν καθαρότητα τῆς καρδίας; Καὶ τί εἶναι αὐτὴ ἡ καθαρότης τῆς καρδίας;

Ἀπάντησις

2. Ὅταν ὅλους τοὺς ἀνθρώπους τοὺς θεωρῇ καλούς, κανένα δὲ ἀκάθαρτον καὶ βέβηλον, τότε ὁ τοιοῦτος εἶναι πράγματι καθαρὸς τῇ καρδίᾳ. Διότι ὁ κάθε ἕνας εἶναι δυνατὸν νὰ φρονῇ, μὲ ἐπίγνωσιν καὶ εἰλικρινῆ διάθεσιν καρδίας, ὅτι ὅλοι εἶναι ἀνώτεροί του, συμφώνως πρὸς τὸ Ἀποστολικὸν παράγγελμα (Φιλιπ. β' 3), ἐὰν κατορθώσῃ νὰ φθάσῃ εἰς τὴν τελείαν ἐκείνην κατάστασιν, ποὺ μᾶς ὑπενθυμίζει τὸ ρητόν· «ὁ ὀφθαλμός του εἶναι καθαρὸς καὶ δὲν εἶναι δυνατὸν νὰ ἰδῇ πονηρὰ πράγματα» (Ἀββακ. α' 13).

3. Ἡ καθαρότης λοιπὸν εἶναι ἡ τελεία λησμοσύνη καὶ ἄγνοια τῶν τρόπων τῆς δευτέρας φύσεως τοῦ ἀνθρώπου, οἱ ὁποῖοι προέρχονται ἀπὸ τὴν παρακοὴν καὶ τοὺς ὁποίους ἐφεῦρε καὶ ηὔξησεν ἡ φύσις ἡμῶν (μετὰ τὴν ἁμαρτίαν) ἀπὸ τὰ πράγματα τοῦ παρόντος κόσμου. Ἐκεῖνος λοιπόν, ποὺ θὰ κατορθώσῃ νὰ εὑρεθῇ ἔξω ἀπὸ αὐτά, ἢ μᾶλλον ἐκεῖνος ποὺ θὰ βγάλῃ ἔξω ἀπὸ τὴν ψυχήν του ὅλας τὰς παρὰ φύσιν καταστάσεις καὶ ἀσχημίας καὶ θὰ φθάσῃ εἰς τὸ σημεῖον λησμοσύνης ὅλων αὐτῶν, ἐξ αἰτίας τῆς ἠθελημένης ἀγνοίας αὐτῶν καὶ τῆς περὶ αὐτὰ ἀπραξίας, εἶναι φανερόν, ὅτι ἐπανέκτησε τὴν πρὸ τῆς πτώσε-

ως τοῦ ἀνθρώπου ἁπλότητα καὶ ἀκακίαν καὶ ἔγινε, κατὰ τὴν προαίρεσιν καὶ τὴν ψυχικὴν κατάστασιν, ἕνα πραγματικὸν ἀθῶον νήπιον, χωρὶς νὰ ἔχῃ καὶ τὰ ἐλαττώματα τοῦ νηπίου.

Ἐρώτησις

4. Εἶναι δυνατὸν νὰ φθάσῃ κανεὶς εἰς αὐτὴν τὴν κατάστασιν;

Ἀπάντησις

5. Βεβαίως· ὡς παράδειγμα ἀναφέρω τὸν Ἀββᾶν Σισώην· αὐτὸς ἔφθασεν εἰς τὸ μέτρον αὐτὸ τῆς νηπιακῆς ἀγνότητος καὶ ἀθωότητος, τὴν καθαρότητα δηλαδή, ὥστε νὰ ἐρωτᾷ τὸν μαθητήν του, διὰ τὸν ἑαυτόν του, ἐὰν ἔφαγεν ἢ ὄχι.

6. Ἕνας ἄλλος πάλιν ἐκ τῶν Πατέρων τῆς ἐρήμου εἰς τοιαύτην ἁπλότητα ἔφθασεν, καὶ τόσον πολὺ ἐξῆλθεν ἀπὸ τὰ ὅρια τῆς καθημερινότητος ἑνὸς ὡρίμου ἀνθρώπου, ὥστε νὰ λησμονῇ καὶ νὰ τρώγῃ πρὶν τῆς θείας Μεταλήψεως καὶ μετὰ νὰ προσέρχεται εἰς τὴν ἁγίαν Κοινωνίαν, χωρὶς καθόλου νὰ ἐνθυμῆται, ἐὰν ἔφαγε· δι' αὐτὸ καὶ οἱ μαθηταί του τὸν ἠμπόδιζον πρὸ τῆς θείας Μεταλήψεως καὶ τὸν ὡδήγουν ὡς νήπιον, διὰ νὰ μεταλάβῃ τῶν Ἀχράντων Μυστηρίων· οὗτος, κατὰ κόσμον, ἐθεωρεῖτο νήπιος, ἐνῷ ἀπέναντι τοῦ Θεοῦ ἦτο εἰς τὴν ψυχὴν τέλειος.

ϛ'. Τοῦ Ἁγίου Μαξίμου.

ΨΥΧΗ ἐστι καθαρά, παθῶν ἐλευθερωθεῖσα καὶ ὑπὸ τῆς θείας ἀγάπης ἀδιαλείπτως εὐφραινομένη. Ἀπάθεια ἐστὶν εἰρηνικὴ κατάστασις τῆς ψυχῆς, καθ' ἣν δυσκίνητος γίνεται πρὸς κακίαν. Ὅταν ὁ νοῦς τῶν παθῶν τελείως ἐλευθερωθῇ, τότε καὶ ἐπὶ τὴν θεωρίαν τῶν ὄντων ἀμεταστρεπτεὶ ὁδεύει, ἐπὶ τὴν γνῶσιν τῆς Ἁγίας Τριάδος τὴν πορείαν ποιούμενος.

2. Σημεῖον ἄκρας ἀπαθείας τὸ ψιλὰ τὰ νοήματα τῶν πραγμάτων ἀεὶ ἀναβαίνειν ἐπὶ τὴν καρδίαν, καὶ γρηγοροῦντος τοῦ σώματος καὶ κατὰ τοὺς ὕπνους, καθαρὸς ὑπάρχων ὁ νοῦς, τὰ νοήματα τῶν πραγμάτων ἀναλαμβάνων, εἰς τὴν πνευματικὴν αὐτῶν θεωρίαν κινεῖται· ἀκάθαρτος δὲ ἐκ ῥαθυμίας γεγονώς, τὰ μὲν τῶν λοιπῶν πραγμάτων νοήματα ψιλὰ φαντάζεται, τὰ δὲ ἀνθρώπινα δεχόμενος εἰς αἰσχροὺς καὶ πονηροὺς λογισμοὺς μετατρέπει.

3. Ὁ τέλειος ἐν ἀγάπῃ καὶ εἰς ἄκρον ἐλθὼν ἀπαθείας οὐκ ἐπίσταται διαφορὰν ἰδίου καὶ ἀλλοτρίου, ἢ πιστοῦ καὶ ἀπίστου, ἢ δούλου καὶ ἐλευθέρου, ἢ ὅλως ἄῤῥενος καὶ θηλείας, ἀλλ' ἀνώτερος τῆς τῶν παθῶν τυραννίδος γενόμενος, καὶ εἰς τὴν φύσιν τῶν ἀνθρώπων βλεπόμενος, πάντα ἐξ ἴσου θεωρεῖ καὶ πρὸς πάντας ἴσος διάκειται· οὐκ ἔστι γὰρ ἐν αὐτῷ Ἕλλην καὶ Ἰουδαῖος, οὐδὲ ἄρσεν καὶ θῆλυ, οὐδὲ δοῦλος καὶ ἐλεύθερος, ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

4. Ἄλλο ἐστὶ λογισμῶν ἀπαλλαγῆναι, καὶ ἄλλο παθῶν ἐλευθερωθῆναι· καὶ πολλάκις τις λογισμῶν ἀπαλλάττεται, μὴ παρόντων τῶν πραγμάτων ἐκείνων, πρὸς ἅπερ τὰ πάθη κέκτηται· κέκρυπται δὲ τὰ πάθη ἐν τῇ ψυχῇ, καὶ ἀναφαινόντων τῶν πραγμάτων ἐλέγχεται· χρὴ οὖν τηρεῖν τὸν νοῦν ἐπὶ τῶν πραγμάτων, καὶ γνῶναι πρὸς ποῖον ἔχει τὸ πάθος.

5. Ψυχή ἐστι τελεία, ἧς ἡ παθητικὴ δύναμις νένευκε πρὸς τὸν Θεὸν ὁλοτελῶς.

6. Νοῦς ἐστι τέλειος, ὁ διὰ πίστεως ἀληθοῦς τὸν Ὑπεράγνωστον ὑπεραγνώστως ὑπερεγνωκώς, καὶ τῶν Αὐτοῦ δημιουργημάτων τὰ καθόλου θεασάμενος, καὶ τῆς ἐν αὐτοῖς Προνοίας καὶ κρίσεως τὴν περιληπτικὴν γνῶσιν παρὰ Θεοῦ εἰληφώς, ὡς ἐν ἀνθρώποις δέ φημι.

7. Ὅταν μηδὲν εἴπῃς ἢ πράξῃς αἰσχρὸν κατὰ διάνοιαν, καὶ ὅταν τῷ ζημιώσαντι ἢ κακολογήσαντι μὴ μνησικακήσῃς, καὶ ὅταν ἐν καιρῷ προσευχῆς ἄϋλον καὶ ἀνίδεον ἀεὶ ἔχῃς τὸν νοῦν, τότε γνῶθι ὅτι ἔφθασας εἰς τὸ μέτρον τῆς ἀπαθείας καὶ τῆς τελείας ἀγάπης.

8. Μὴ νόμιζε τελείαν ἔχειν ἀπάθειαν, τοῦ πράγματος μὴ παρόντος· ὅταν δὲ φανῇ καὶ μείνῃς ἀκίνητος πρός τε τὸ πρᾶγμα καὶ τὴν μετὰ ταῦτα μνήμην αὐτοῦ, τότε γνῶθι σεαυτὸν τὸν ὅρον αὐτῆς ἐπιβεβηκέναι· πλὴν μηδὲ οὕτω καταφρονήσῃς, διότι ἀρετὴ μὲν χρονίζουσα νεκροῖ τὰ πάθη, ἀμελουμένη δὲ πάλιν ἐγείρει αὐτά.

9. Ὁ τὸν νόμον διὰ βίου καὶ πολιτείας ἐπιτελῶν, μόνον τῶν τῆς καρδίας ἢ τῆς κακίας ἀργεῖ συμπερασμάτων, καταθύων τῷ Θεῷ τῶν ἀλόγων παθῶν τὴν ἐνέργειαν, καὶ τούτῳ πρὸς σωτηρίαν ἀρκεῖται τῷ τρόπῳ, διὰ τὴν ἐν αὐτῷ πνευματικὴν νηπιότητα.

10. Ὁ τῷ Προφητικῷ λόγῳ παιδαγωγούμενος, πρὸς τῇ ἀποβολῇ τῆς τῶν παθῶν ἐνεργείας, καὶ τὰς κατὰ ψυχὴν συνισταμένας αὐτῷ ἀποτίθεται συγκαταθέσεις, ἵνα μὴ τῇ σαρκὶ δοκῶν κακίας ἀπέχεσθαι, τῇ ψυχῇ λάθῃ ταύτην δαψιλῶς ἐνεργῶν.

11. Ὁ τὴν Εὐαγγελικὴν ζωὴν γνησίως ἀσπαζόμενος, καὶ ἀρχὴν καὶ τέλος αὐτοῦ τῆς κακίας ἐξέτεμε, καὶ πᾶσαν ἀρετὴν ἔργῳ τε καὶ λόγῳ μετέρχεται, θυσίαν θύων αἰνέσεως καὶ ἐξομολογήσεως, πάσης τε τῆς κατ' ἐνέργειαν ἁμαρτίας τῶν παθῶν ἀπηλλαγμένος, καὶ τῆς κατὰ νοῦν πρὸς αὐτὰ μάχης ὑπάρχων ἐλεύθερος, καὶ μόνην ἔχων τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν τὴν ψυχὴν διατρέφουσαν ἀκόρεστον ἡδονήν.

12. Καρδία καθαρά ἐστιν ἡ παντάπασιν ἀνίδεον τῷ Θεῷ καὶ ἀδιαμόρφωτον παραστήσασα τὴν μνήμην, μόνοις τοῖς Αὐτοῦ ἕτοιμον ἐνσημανθῆναι τύποις, δι' ὧν ἐμφανὴς πέφυκε γενέσθαι ὁ τοῦ Χριστοῦ νοῦς, ὃν λαμβάνουσιν οἱ Ἅγιοι, κατὰ τὸν εἰπόντα· «ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν», οὐ κατὰ στέρησιν τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως ἐπιγίνεται, οὐδὲ ὡς συμπληρωτικὸς τοῦ ἡμετέρου νοός, οὐδὲ ὡς μεταβαίνων οὐσιωδῶς εἰς τὸν ἡμέτερον νοῦν καθ' ὑπόστασιν, ἀλλ' ὡς τῇ οἰκείᾳ ποιότητι, τὴν τοῦ ἡμετέρου νοὸς λαμπρύνων δύναμιν, καὶ πρὸς τὴν αὐτὴν ἑαυτῷ φέρων ἐνέργειαν.

13. Νοῦν γὰρ ἔχειν Χριστοῦ ἔγωγέ φημι, τὸν κατ' Αὐτὸν νοοῦντα, καὶ διὰ πάντων Αὐτὸν νοοῦντα.

14. Σῶμα Χριστοῦ εἶναι λεγόμεθα, κατὰ τό· «Ὑμεῖς δὲ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους», οὐ κατὰ στέρησιν τῶν ἡμετέρων σωμάτων, ἐκεῖνο τὸ σῶμα γινόμενον, οὐδ' αὖ πάλιν Ἐκείνου καθ' ὑπόστασιν εἰς ἡμᾶς μεταβαίνοντος, ἢ μεληδὸν διατεμνομένου, ἀλλὰ καθ' ὁμοιότητα τῆς τοῦ Κυρίου σαρκὸς τὴν φθορὰν ἀποσείεσθαι τῆς ἁμαρτίας.

15. Ὡς γὰρ ὁ Χριστὸς κατὰ φύσιν σαρκὶ νοεῖται καὶ ψυχῇ, ἄνθρωπος ἀναμάρτητος ὤν, οὕτω καὶ ἡμεῖς οἱ πεπιστευκότες Αὐτῷ, καὶ διὰ πνεύματος Αὐτὸν ἐνδυσάμενοι κατὰ προαίρεσιν, ἐν Αὐτῷ χωρὶς ἁμαρτίας εἶναι δυνάμεθα.

Ἑρμηνεία

7. Εἰς τὸ ἄκουσμα τῶν λόγων αὐτῶν ὁ Ἐπίσκοπος ἔμεινε κατάπληκτος, διότι ἐνόμισεν, ὅτι ὁ Μέγας Ἰωάννης τοῦ ἐζήτει χρήματα, τὰ ὁποῖα δὲν ἐνεθυμεῖτο νὰ εἶχε λάβει· καὶ οὔτε νὰ πιστεύσῃ τοῦ ἦτο εὔκολον, ἀφοῦ δὲν εἶχε πάρει χρήματα, ἀλλὰ οὔτε καὶ νὰ ἀπιστήσῃ εἰς τοὺς λόγους τοῦ θείου Ἰωάννου ἠδύνατο.

8. Βλέπων ὁ Μέγας Ἰωάννης τὴν ἀπορίαν αὐτὴν καὶ τὴν κα-

τάπληξιν τοῦ Ἐπισκόπου, λέγει πρὸς αὐτὸν σαφῶς καὶ συγκεκριμένως:

—Τὸν νεανίσκον, ποὺ σοῦ ἐνεπιστεύθην, ζητῶ· τὴν ψυχὴν τοῦ ἀδελφοῦ μας.

Ὁ γέρων Ἐπίσκοπος ἀνεστέναξε βαθιά, ἐβούρκωσαν τὰ μάτια του καὶ εἶπε:

—Ἀπέθανεν ὁ νεανίσκος!

—Πότε ἀπέθανε; Μὲ ποῖον τρόπον; Ἀπέθανεν ὡς πιστὸς παραδώσας τὴν ψυχήν του εἰς τὸν Θεόν;

Εἰς αὐτὰς τὰς ἐρωτήσεις τοῦ Ἰωάννου ἀπήντησεν ὁ Ἐπίσκοπος μετὰ συγκινήσεως:

—Ἐπροτίμησε νὰ γίνῃ ληστής, νὰ κατοικῇ εἰς τὸ ὄρος ἀντὶ τῆς Ἐκκλησίας. Ἠγάπησε περισσότερον νὰ ζῇ κοντὰ μὲ τοὺς κακούργους καὶ ληστάς, παρὰ νὰ μένῃ κοντά μας καὶ νὰ ἀπολαμβάνῃ τῶν φροντίδων μας καὶ τῶν περιποιήσεών μας. Αὐτὸν τὸν θάνατον ἐννοῶ.

9. Ὁ Μέγας Ἰωάννης, μόλις ἤκουσεν αὐτὴν τὴν πληροφορίαν, ἐπόνεσε βαθιὰ καὶ κατελήφθη ἀπὸ πατρικὴν συγκίνησιν. Μετά τινα λεπτὰ σιωπῆς λέγει λυπημένος εἰς τὸν Ἐπίσκοπον:

—Καλὸν φύλακα τῆς ψυχῆς τοῦ ἀδελφοῦ σὲ εἶχα ἀφήσει. Τέλος πάντων· φέρετέ μου τώρα ἕνα ἄλογον καὶ ἂς ἔλθῃ κοντά μου κάποιος ποὺ νὰ γνωρίζῃ τὸν δρόμον τοῦ ὄρους, ὅπου μένουν οἱ λησταί.

Ἐντὸς ὀλίγου, πράγματι, ἱππεύει εἰς ἕνα ἄλογον, λαμβάνει τὰ ἡνία εἰς τὰς χεῖρας του, καὶ κεντᾷ τὸ ἄλογον νὰ τρέχῃ γρήγορα. Τόση ἦτο μάλιστα ἡ σπουδή του νὰ φθάσῃ γρήγορα εἰς τὸ μέρος τῶν ληστῶν, ὥστε παρεπονεῖτο ὅτι τὸ ἄλογο δὲν ἔτρεχε καθόλου.

10. Κατόπιν ἀρκετῆς πορείας συναντᾷ τὴν προφυλακὴν τῶν ληστῶν, χωρὶς νὰ ἐπιδιώξῃ νὰ τὴν ἀποφύγῃ, ἢ νὰ φύγῃ πρὸ τῆς ἀγριότητός των. Ἀμέσως τὸν συλλαμβάνουν. Ὁ Μέγας Ἰωάννης τοὺς λέγει μὲ γλυκύτητα:

—Μὴ κουράζεσθε· δι᾽ αὐτὸν τὸν λόγον ἦρθα εἰς τὸ λημέρι σας, διὰ νὰ μὲ συλλάβετε. Θέλω τώρα νὰ μὲ ὁδηγήσητε εἰς τὸν ἀρχηγόν σας.

Ἐνῷ λοιπὸν οἱ λησταὶ ὡδήγουν τὸν Ἅγιον εἰς τὸν ἀρχηγόν των, αὐτὸς μόλις ἐπληροφορήθη, ὅτι ὁ αἰχμάλωτος ἦτο ὁ Ἰωάννης, ἐντραπεὶς ἔφευγεν εἰς βαθύτερα κρησφύγετα. Ὁ Μέγας Ἰωάννης, λησμονεῖ τότε τὰ γηρατεῖα του, λησμονεῖ τὴν ἀξιοπρέπειάν του καὶ τρέχων τὸν καταδιώκει.

11. Εἰς μίαν στιγμὴν ποὺ τὸν ἐπλησίασε, τοῦ ἐφώναξε δυνατὰ καὶ μὲ πόνον:

—Παιδί μου, διατί ἀποφεύγεις τὸν πατέρα σου; Σεβάσου τὰ γηρατεῖα μου· λυπήσου τὸ ἄνθος τῆς ἡλικίας σου, ἔχεις ἐλπίδας νὰ ζήσῃς μίαν ὡραίαν πνευματικὴν ζωήν. Ἐγὼ θὰ δώσω λόγον διὰ σέ· στάσου, παιδί μου. Ὁ Χριστὸς μὲ ἔστειλε κοντά σου.

12. Ὅταν ἤκουσεν αὐτὰ τὰ θερμὰ λόγια ὁ νέος, πρῶτον ἐστάθη καὶ ἔβλεπεν ἀφῃρημένα κάτω στὸ ἔδαφος, χωρὶς νὰ ἠμπορῇ, ἀπὸ ἐν-

τροπήν, νὰ ὑψώσῃ τὸ βλέμμα του. Μετὰ ρίπτει τὰ ὅπλα του κατὰ γῆς καὶ ἀρχίζει νὰ κλαίῃ μὲ πόνον καὶ λυγμούς, κατόπιν ἔρχεται κοντὰ εἰς τὸν Γέροντα καὶ τὸν ἀγκαλιάζει. Ποιός, ἐκείνην τὴν στιγμήν, δὲν θὰ ἐσυμπαθοῦσεν ἕνα παλληκάρι, ποὺ μὲ τόσην συντριβὴν καὶ πόνον ἔκλαιε θερμῶς καὶ ἀνεστέναζε;

13. Ὁ Μέγας Ἰωάννης, ὡς πραγματικὸς πατέρας γεμᾶτος στοργὴν καὶ εὐσπλαγχνίαν, βεβαιώνει τὸν νέον διὰ τὴν ὑπὸ τοῦ Θεοῦ συγχώρησιν, ὑπόσχεται, ὅτι ὁ Ἐπουράνιος Δικαστής, ἐφ' ὅσον μετανοεῖ, θὰ τὸν κρίνῃ μὲ συμπάθειαν καὶ δὲν θὰ τὸν καταδικάσῃ. Ἀφοῦ δὲ μὲ τὰ λόγια αὐτὰ ἐμάλαξε τὴν ψυχήν του, τὸν ἐπῆρεν ἀπὸ τὸ χέρι, τὸν φιλεῖ στοργικά, καὶ τὸν ἐπαναφέρει εἰς τὴν Ἐκκλησίαν.

14. Μετά, μὲ ἐντατικὴν προσευχὴν καὶ νηστείαν, ζητεῖ τὴν βοήθειαν τοῦ Θεοῦ διὰ τὴν σωτηρίαν τῆς ψυχῆς τοῦ νέου· συγχρόνως μὲ διαφόρους διδακτικοὺς λόγους καὶ συμβουλὰς ἡμερώνει καὶ ἰατρεύει τὴν ψυχήν του. Δὲν ἔφυγε δὲ ὁ Μέγας Ἰωάννης ἀπὸ τὴν πόλιν ἐκείνην, παρὰ τότε, ὅταν ἀποκατέστησε τελείως τὴν ὑγείαν εἰς τὸν τραυματίαν τῆς ἁμαρτίας καὶ τὸν ἔκαμεν ὅπως καὶ πρῶτα. Οὕτω μὲ τοὺς κόπους καὶ τὴν θυσίαν αὐτὴν ἄφησε τὸν μὲν νέον παράδειγμα μετανοίας, τὸν δὲ ἑαυτόν του παράδειγμα φιλανθρωπίας καὶ συμπαθείας.

Δ' Τοῦ Ἁγίου Ἐφραίμ.

ΟΙ ΤΗΝ χαλκευτικὴν μετερχόμενοι τέχνην, οὐ τὴν κόνιν καὶ τέφραν παραιτοῦνται, οὐ τὸν κτύπον τῆς σφύρας καὶ τὸν κόπον, οὐ τὴν ἐκ τοῦ πυρὸς φλόγωσιν, ἀλλ' ἐπιλαβόμενοι βόλου χαλκοῦ ἢ σιδήρου, τῇ ἐπιμελείᾳ καὶ ἐπιμονῇ ἐξάγουσιν εὔχρηστα σκεύη.

2. Καὶ ἡμεῖς οὖν μὴ ἐκκακῶμεν τοὺς ὑφ' ἡμᾶς παιδεύοντες, νουθετοῦντες, παρακαλοῦντες, ἐπιτιμῶντες, ἐλέγχοντες, πᾶσαν σπουδὴν καὶ ἐπιμέλειαν ἐνδεικνύμενοι, ἵνα βοηθείᾳ Θεοῦ δυνηθῶμεν ἐξ ἀναξίου ἐξαγαγεῖν τίμιον, καὶ τῆς ὑπερφυοῦς δόξης ἀξιωθῶμεν.

3. Ἣν ὁ Θεὸς τοῖς οὕτως ἀγωνιζομένοις ὑπέσχετο εἰπών· «ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς τὸ στόμά μου ἔσῃ». Καὶ πάλιν ἑτέρωθι λέγει· «μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλήμ».

4. Γνωστὸν δὲ ἔστω ὑμῖν, ὅτι εἴ τις ὑμῶν οὐχ ὑπετάγη μειζοτέρῳ καθὼς χρή, δεῖ αὐτὸν ἀσθένειαν ἀρχαρίου βαστάζειν, ἵνα διὰ τούτου τοῦ πόνου ἀνασώσῃ κόπους τοῦ παρελθόντος χρόνου.

5. Λέγει δὲ ὁ Ἀπόστολος· «Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν καὶ μὴ ἑαυτοῖς ἀρέσκειν· ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν».

Ἑρμηνεία

ΑΥΤΟΙ ποὺ ἀσχολοῦνται μὲ τὴν σιδηρουργικὴν δὲν ἐμποδίζονται ἀπὸ τὴν σκόνην καὶ τὴν στάκτην, ἢ τὸν κτύπον τοῦ σφυριοῦ, ἢ τὸν κόπον, ἢ τὴν ζέστην τῆς φωτιᾶς, ἀλλὰ ἀφοῦ πάρουν ἕνα βόλον χαλκοῦ ἢ σιδήρου, μὲ φροντίδα καὶ ἐπιμονὴν κατασκευάζουν χρήσιμα σκεύη.

2. Καὶ ἡμεῖς λοιπὸν ἂς μὴ λιποψυχῶμεν, ἀλλὰ μὲ ὑπομονὴν καὶ ἐπιμονὴν ἂς διδάσκωμεν, ἂς νουθετῶμεν, ἂς προτρέπωμεν, ἂς ἐπιπλήττωμεν, ἂς ἐλέγχωμεν καί, ἐν γένει, ἂς ἐπιδεικνύωμεν κάθε δυνατὴν σπουδὴν καὶ φροντίδα, διὰ νὰ δυνηθῶμεν, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ ἀναδείξωμεν ἕνα ἄνθρωπον, ἀπὸ ἀνάξιον, τίμιον, καὶ οὕτω νὰ ἀξιωθῶμεν τῆς ὑπερκοσμίου δόξης.

3. Τὴν δόξαν αὐτὴν ὑπεσχέθη ὁ Θεὸς εἰς τοὺς ἀγωνιζομένους τοιουτοτρόπως, εἰπὼν εἰς τὴν Ἁγίαν Γραφήν· «ἐὰν ἕνα ἄνθρωπον ἀνάξιον τὸν ἀναδείξῃς τίμιον, θὰ εἶσαι ὅπως τὸ στόμα μου» (Ἱερ. ιε' 19). Εἰς ἄλλο πάλιν σημεῖον λέγει σχετικῶς τὸ Πνεῦμα τοῦ Θεοῦ· «Εὐτυχὴς αὐτὸς ποὺ ἔχει ἀπογόνους εἰς τὴν Σιὼν καὶ συγγενεῖς εἰς τὴν Ἱερουσαλήμ» (Ἡσ. λα' 9).

4. Πρέπει δὲ καὶ τοῦτο νὰ γνωρίζετε· ἐὰν κανεὶς ἀπὸ σᾶς δὲν ὑπετάγη εἰς μεγαλύτερον, ὅπως πρέπει, τότε αὐτὸς ἐπιβάλλεται νὰ ἀνέχεται ἀγογγύστως τὸν ἀρχάριον, ὥστε, διὰ τοῦ κόπου αὐτοῦ, νὰ ἀναπληρώσῃ τοὺς κόπους τοῦ παρελθόντος χρόνου, ἐφ' ὅσον εἰς οὐδεμίαν δοκιμασίαν ὑπεβλήθη ὡς ἀρχάριος.

5. Ἂς μὴ λησμονῶμεν δὲ καὶ αὐτὸ ποὺ λέγει ὁ Ἀπόστολος Παῦλος· «ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοί, εἰς τὴν πίστιν καὶ εἰς τὴν ἀρετήν, νὰ σηκώνωμεν ἀγογγύστως τὰς ἀδυναμίας τῶν ἀδυνάτων, κατὰ τὴν πίστιν καὶ νὰ μὴ πράττωμεν ἐκεῖνα, τὰ ὁποῖα μᾶς ἀρέσκουν. Ἕκαστος δηλαδὴ ἂς γίνεται ἀρεστὸς εἰς τὸν πλησίον του, διὰ νὰ συμβάλῃ εἰς τὸ καλόν του καὶ νὰ τὸν οἰκοδομῇ εἰς τὴν ἀρετήν» (Ρωμ. ιε' 1—2).

Ε'. Ἐν τῷ Γεροντικῷ.

ΗΝ ΤΙΣ Γέρων ἔχων μαθητήν, καὶ ἐπολεμεῖτο ὁ ἀδελφὸς εἰς πορνείαν· ὁ δὲ Γέρων παρεκάλει αὐτὸν λέγων· ὑπόμεινον, τέκνον, ὅτι πόλεμος τοῦ ἐχθροῦ ἐστιν· ὁ δὲ εἶπεν· οὐκέτι πλέον ὑπομένω, Ἀββᾶ, ἐὰν μὴ ποιήσω τὸ πρᾶγμα.

2. Ὡς οὖν εἶδεν αὐτὸν ὁ Γέρων μὴ ἐνδιδόντα, προσεποιήσατο καὶ αὐτὸς ὁμοίως πολεμεῖσθαι, καὶ λέγει τῷ μαθητῇ· κἀγὼ πολεμοῦμαι, τέκνον, ἀλλ' ἄγωμεν, ὁμοῦ, ποιοῦμεν τὸ πρᾶγμα, καὶ πάλιν ἐρχόμεθα εἰς τὸ κελλίον ἡμῶν. Εἶχε δὲ ὁ Γέρων νόμισμα ἓν καὶ ἐβάστασεν αὐτὸ μεθ' ἑαυτοῦ.

3. Ὡς οὖν ἀπῆλθον εἰς τὸν τόπον, λέγει ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· μεῖνον ἔξω, καὶ ἄφες πρῶτον εἰσέλθω ἐγώ, εἶτα εἰσέρχῃ σύ. Καὶ εἰσελθὼν ὁ Γέρων ἔδωκε τὸ νόμισμα τῇ πόρνῃ καὶ παρεκάλεσεν αὐτὴν λέγων· μὴ μιάνῃς τὸν ἀδελφὸν τοῦτον. Ἡ δὲ δέδωκε λόγον τῷ Γέροντι μὴ μιάναι αὐτόν. Ἐξῆλθεν οὖν ὁ Γέρων καὶ λέγει τῷ ἀδελφῷ εἰσελθεῖν.

4. Καὶ εἰσελθόντι αὐτῷ, λέγει ἡ πόρνη· μεῖνον, ἀδελφέ· ὅτι εἰ καὶ ἁμαρτωλή εἰμι, ἀλλὰ νόμον ἔχομεν, καὶ χρὴ αὐτὸν πρῶτον ποιῆσαι ἡμᾶς ἐκέλευσεν οὖν αὐτὸν στῆναι παραμέρος καὶ βαλεῖν μετανοίας σὺν αὐτῇ ἕως τῶν πεντήκοντα.

5. Ὡς οὖν ἔβαλον τὰς μετανοίας παραμέρος ἑκάτεροι, καὶ ἐποίησαν ἤδη τριάκοντα, κατενύγη ὁ ἀδελφὸς καὶ λέγει ἐν ἑαυτῷ· πῶς τῷ Θεῷ προσεύχομαι τοιοῦτον μῦσος προσδοκῶν; Καὶ εὐθέως ἐξῆλθε μὴ μιανθείς.

6. Καὶ ἰδὼν ὁ Θεὸς τὸν κόπον τοῦ Γέροντος, ἦρε τὸν πόλεμον ἐκ τοῦ ἀδελφοῦ, καὶ ὑπέστρεψαν εἰς τὸ κελλίον δοξάζοντες τὸν Θεόν.

7. Εἶπε Γέρων· οἱ Πατέρες ἡμῶν ἔθος εἶχον παραβάλλειν εἰς τὰ κελλία τῶν νεοφύτων ἀδελφῶν, τῶν βουλομένων κατὰ μόνας ἀσκεῖσθαι, καὶ ἐπισκέπτεσθαι αὐτούς, μήπως τις αὐτῶν, πειρασθεὶς ὑπὸ δαιμόνων, ἐβλάβη τὸν λογισμόν.

8. Καὶ εἴποτέ τις αὐτῶν βλαβεὶς εὑρίσκετο, ἔφερον αὐτὸν ἐν τῇ Ἐκκλησίᾳ, καὶ ἐτίθετο νιπτήρ, καὶ ἐγίνετο εὐχὴ περὶ τοῦ κάμνοντος, καὶ ἐνίπτοντο οἱ ἀδελφοὶ πάντες καὶ κατέχεον ἐπάνω αὐτοῦ ἐκ τοῦ ὕδατος, καὶ εὐθέως ἐκαθαρίζετο.

9. Διηγήσατο ὁ Ἀββᾶς Μιὼς περί τινος Γέροντος, ὅτι ἦν ἐν Σκήτει· ἐγένετο δὲ ἀπὸ δούλων καὶ ἦν διακριτικὸς σφόδρα. Ἀπήρχετο δὲ κατ' ἐνιαυτὸν εἰς Ἀλεξάνδρειαν φέρων τὴν μισθοφορίαν τοῖς κυρίοις αὐτοῦ, καὶ ὑπήντων αὐτῷ καὶ προσεκύνουν· ὁ δὲ Γέρων ἔβαλεν ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἔφερεν, ἵνα νίψῃ τοὺς κυρίους αὐτοῦ.

10. Οἱ δὲ πρὸς αὐτὸν ἔλεγον· μή, Πάτερ, μὴ βαρῇς ἡμᾶς. Ὁ δὲ αὐτοῖς ἀπεκρίνατο· ὁμολογῶ ὅτι δοῦλος ὑμῶν εἰμι, καὶ εὐχαριστῶ ὅτι ἀφήκατέ μοι ἐλεύθερον δουλεύειν τῷ Θεῷ· ἀλλὰ κἀγὼ νίπτω ὑμᾶς, καὶ δέξασθε τὴν μισθοφορίαν ταύτην· οἱ δὲ ἀντέλεγον μὴ καταδεχόμενοι.

11. Ὁ δὲ Γέρων διεβεβαιοῦτο αὐτοῖς λέγων, ὅτι ἐὰν μὴ δέξησθε, κάθημαι ὧδε δουλεύων ὑμῖν· καὶ φοβούμενοι αὐτόν, ἠφίουν ὃ ἐβούλετο ποιεῖν· καὶ προέπεμπον αὐτόν, ὅτε ἐπανήρχετο, μετὰ πολλῆς τιμῆς, καὶ χρειῶν πολλῶν, ἵνα ποιῇ ὑπὲρ αὐτῶν ἀγάπας, καὶ διὰ τοῦτο ἐγένετο ὀνομαστός, καὶ διακριτικός, καὶ ἀγαπητός.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ Γέρων εἶχεν ἕνα μαθητήν, ὁ ὁποῖος ἐπολεμεῖτο μὲ λογισμοὺς πορνείας. Ὁ Γέρων παρηγορῶν αὐτὸν μὲ ὑπομονὴν τὸν παρεκάλει καὶ τοῦ ἔλεγε:

—Παιδί μου, κάμε ὑπομονήν, πόλεμος τοῦ μισοκάλου ἐχθροῦ εἶναι καὶ θὰ περάσῃ.

Ὁ ὑποτακτικὸς ὅμως, ὑπὸ τὸ κράτος τῆς αἰχμαλωσίας τοῦ πάθους, ἀπήντα:

—Ἀββᾶ, δὲν δύναμαι νὰ ὑπομένω ἄλλο· θέλω νὰ ἐκτελέσω τὴν ἐπιθυμίαν μου.

2. Ὅταν πλέον εἶδεν ὁ Γέρων, ὅτι δὲν ὑποχωρεῖ ὁ ὑποτακτικός του, προσεποιήθη, ὅτι καὶ αὐτὸς ὁμοίως πολεμεῖται ὑπὸ τοῦ ἐχθροῦ καὶ λέγει πρὸς τὸν μαθητήν:

—Καὶ ἐγώ, τέκνον μου, πολεμοῦμαι· ἂς ὑπάγωμεν λοιπὸν μαζί, νὰ ἐκπληρώσωμεν τὴν ἐπιθυμίαν ἡμῶν καὶ ὕστερον ἐπιστρέφομεν εἰς τὸ κελλί μας.

Εἶχε δὲ ὁ Γέρων ἕνα νόμισμα, τὸ ὁποῖον ἐπῆρε μαζί του.

3. Ὅταν μετέβησαν εἰς τὸν τόπον τῆς ἁμαρτίας, λέγει ὁ Γέρων εἰς τὸν μαθητήν του:

—Μεῖνε ἔξω καὶ ἄφησέ με πρῶτα νὰ εἰσέλθω ἐγὼ εἰς τὸ δωμάτιον τῆς πόρνης.

Πράγματι, εἰσῆλθεν ὁ Γέρων καὶ λέγει πρὸς τὴν πόρνην, προσφέρων εἰς αὐτὴν τὸ νόμισμα:

—Σὲ παρακαλῶ, μὴ μιάνῃς τὸν ἀδελφόν, ποὺ θὰ ἔλθῃ τώρα μέσα εἰς τὸ δωμάτιόν σου.

Ἡ πόρνη ἔδωσε τὸν λόγον της εἰς τὸν Γέροντα, ὅτι δὲν θὰ μιάνῃ τὸν ὑποτακτικόν του. Ἐξῆλθε τότε ὁ Γέρων καὶ εἶπεν εἰς τὸν ἀδελφὸν νὰ εἰσέλθῃ.

4. Πράγματι, μόλις εἰσῆλθεν ὁ ὑποτακτικὸς εἰς τὸ δωμάτιον τῆς πόρνης, τοῦ λέγει ἡ γυναῖκα τῆς ἁμαρτίας:

—Ἀδελφέ, περίμενε ὀλίγον· ἂν καὶ εἶμαι ἁμαρτωλὴ γυναῖκα, ἐν τούτοις ἐφαρμόζω εἰς τὴν ζωήν μου κάποιον νόμον, ποὺ πρέπει αὐτὴν τὴν στιγμὴν νὰ ἐφαρμόσωμεν καὶ οἱ δύο.

Τὸν διέταξε τότε νὰ σταθῇ εἰς μίαν γωνίαν τοῦ δωματίου, καὶ νὰ κάμουν ἀπὸ πενῆντα μετανοίας.

5. Ἀφοῦ λοιπὸν ἤρχισαν νὰ κάμνουν τὰς μετανοίας, ἕκαστος εἰς τὴν γωνίαν του, καὶ εἶχον φθάσει τὰς τριάντα, κατενύγη ὁ ἀδελφὸς ἀπὸ τὴν Χάριν τοῦ Θεοῦ καὶ λέγει ἀπὸ μέσα του· «πῶς ἔχω τὴν τόλμην νὰ προσεύχωμαι εἰς τὸν Θεόν, ἐνῷ ἑτοιμάζομαι νὰ διαπράξω μίαν τοιαύτην αἰσχρότητα;» Ἀμέσως τότε παραιτεῖται τοῦ σκοποῦ του καὶ βγαίνει γρήγορα ἀπὸ τὸ δωμάτιον τῆς ἁμαρτίας, χωρὶς νὰ μιανθῇ.

6. Ὁ Θεὸς βλέπων τὴν ἀγαθὴν προαίρεσιν καὶ τὸν κόπον τοῦ Γέροντος, ἠλευθέρωσε τὸν ὑποτακτικὸν ἀπὸ τὸν πορνικὸν πόλεμον. Οὕτω ἐπέστρεψαν καὶ οἱ δύο εἰς τὸ κελλὶ δοξάζοντες τὸν Θεόν.

7. Ἕνας Γέρων εἶπεν: Οἱ Πνευματικοί μας Πατέρες εἶχον συνήθειαν νὰ ἔρχωνται εἰς τὰ κελλία τῶν νέων, κατὰ τὴν ἄσκησιν, ἀδελφῶν, ποὺ ἐπεθύμουν νὰ ἀσκητεύουν μόνοι των, καὶ νὰ τοὺς ἐπισκέπτωνται. Τοῦτο δὲ τὸ ἔκαμναν ἐκ φόβου, μὴ τυχὸν κανεὶς ἐξ αὐτῶν εἶχε πειραχθῆ ἀπὸ τοὺς δαίμονας καὶ ὑπέστη βλάβην ὁ λογισμός του.

8. Ἐὰν δὲ πράγματι διεπίστωναν, ὅτι κάποιος ἀδελφὸς εἶχεν ὑποστῆ τοιαύτην βλάβην, τὸν μετέφερον εἰς τὴν Ἐκκλησίαν, ὅπου ἐτοποθετεῖτο νιπτὴρ καὶ ἐγένετο προσευχὴ ὑπὲρ τοῦ πειρασθέντος. Εἰς τὸν νιπτῆρα ἐνίπτοντο ὅλοι οἱ ἀδελφοὶ καὶ ἔρριπτον, μετὰ τὴν νίψιν, τὸ ὕδωρ ἐπάνω εἰς τὸν πειρασθέντα ἀδελφόν, ὅστις ἀμέσως ἐκαθαρίζετο ἀπὸ τοὺς λογισμούς.

9. Ὁ Ἀββᾶς Μιὼς διηγήθη δι' ἕνα Μοναχόν, ὅτι ἠσκήτευεν εἰς τὴν Σκήτην, προήρχετο δὲ ἀπὸ τὴν τάξιν τῶν δούλων καὶ ἦτο πολὺ διακριτικός. Κάθε χρόνον μετέβαινεν εἰς Ἀλεξάνδρειαν, διὰ νὰ δώσῃ εἰς τοὺς κυρίους του τὸν ὀφειλόμενον μισθὸν διὰ τὴν ἀπελευθέρωσίν του. Οἱ κύριοί του τὸν ὑπεδέχοντο μετὰ σεβασμοῦ καὶ τοῦ ἔβαζαν μετάνοιαν. Ὁ Γέρων, ἐν συνεχείᾳ, ἔβαζεν ὕδωρ εἰς τὸν νιπτῆρα καὶ τὸν ἔφερεν, διὰ νὰ πλύνῃ τοὺς πόδας τῶν κυρίων του.

10. Οἱ κύριοί του ὅμως, ἀπὸ σεβασμόν, ἀντέδρων εἰς τὴν ταπείνωσίν του αὐτὴν καὶ τοῦ ἔλεγον:

—Μὴ μᾶς κολάζῃς, Γέροντα, δὲν εἴμεθα ἄξιοι.

Ὁ Γέρων ἀπαντοῦσε:

—Ὁμολογῶ, ὅτι εἶμαι δοῦλος σας καὶ σᾶς εὐχαριστῶ, διότι μὲ ἀφήσατε ἐλεύθερον νὰ ὑπηρετῶ τὸν Θεόν. Ὡς ἐπικύρωσιν δὲ καὶ σύμβολον τῆς ὁμολογίας μου σᾶς πλύνω τοὺς πόδας. Σᾶς παρακαλῶ λοιπὸν νὰ δεχθῆτε αὐτὸ ὡς μισθοφορίαν μου.

Οἱ κύριοί του, παρὰ ταῦτα, εἶχον ἀντιρρήσεις καὶ δὲν ἐδέχοντο τὴν ἐκδήλωσιν τῆς ταπεινώσεως αὐτῆς.

11. Τότε ὁ Γέρων, κάπως στενοχωρημένος, ἔλεγε πρὸς αὐτοὺς μετὰ σταθερότητος:

—Ἐὰν δὲν δεχθῆτε αὐτὸ τὸ διακόνημα μου, τότε θὰ παραμείνω ἐδῶ καὶ θὰ σᾶς δουλεύω ἰσοβίως.

Φοβούμενοι τὴν ἀπειλὴν αὐτὴν οἱ τέως κύριοι τοῦ Γέροντος, τὸν ἄφηναν νὰ ἐκπληρώνῃ τὴν ἐπιθυμίαν του καὶ τὸν προέπεμπον, μετὰ πολλῆς τιμῆς, ὅταν ἀνεχώρει, προσφέροντές του καὶ πολλὰ ἀγαθά, διὰ νὰ δίδῃ, ὑπὲρ τῆς σωτηρίας των, ἐλεημοσύνας. Ἐξ ἀφορμῆς τῆς συμπεριφορᾶς του αὐτῆς ἔγινεν ὀνομαστός, καὶ διακριτικὸς καὶ ἀξιαγάπητος.


ϛ'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΟΥΚ ὀλίγην ζημίαν ποιμὴν προξενεῖ ἑαυτῷ κοιμώμενος ἔξω τῆς μάνδρας τῶν προβάτων· ἡ γὰρ χαρὰ τῶν λύκων, ὁ τῶν ποιμένων ὕπνος.

Ἑρμηνεία

ΟΤΑΝ ὁ ποιμὴν κοιμᾶται μακρὰν ἀπὸ τὴν μάνδραν τῶν προβάτων, μεγάλην ζημίαν προξενεῖ εἰς τὸν ἑαυτόν του· διότι ἡ χαρὰ τῶν λύκων εἶναι ὁ ὕπνος τοῦ ποιμένος.





·:ὙΠΟΘΕΣΙΣ ΜΑ΄:·

Ὅτι οἱ ἐκ Θεοῦ τὸ διδάσκειν ἐπιτραπέντες, ὅσῳ τὴν διδασκαλίαν αὐξάνειν σπουδάζουσι, τοσούτῳ καὶ πλείονος τῆς Χάριτος ἀπολαύουσι, διὸ δεῖ ἀόκνως αὐτοὺς διδάσκειν· οἱ δὲ ῥαθυμίᾳ τῶν διδασκομένων καταμελοῦντες, ἀφόρητον τὴν τιμωρίαν ὑφέξουσι· καὶ ὅτι δεῖ ἐν τῇ Μονῇ τὸν Προεστῶτα εἶναι, καὶ Δεύτερον ἔχειν τὸν τῆς προστασίας αὐτῷ συναντιλαμβανόμενον.

Ἐκεῖνοι ποὺ ἔλαβον ἐκ Θεοῦ τὴν Χάριν νὰ διδάσκουν, ὅσον περισσότερον φροντίζουν νὰ αὐξάνουν τὸν κύκλον τῶν διδασκομένων, τόσον καὶ περισσοτέραν Χάριν ἀπολαμβάνουν. Διὰ τοῦτο πρέπει οὗτοι νὰ διδάσκουν ἀκούραστα. Ἐκεῖνοι δὲ ποὺ ἀκούουν μὲ ἀδιαφορίαν τὴν διδασκαλίαν, θὰ ὑποστοῦν ἀνυπόφορον τιμωρίαν. Ὁ Προεστὼς πρέπει νὰ παραμένῃ εἰς τὴν Μονήν, καὶ νὰ ἔχῃ Δεύτερον, ὁ ὁποῖος νὰ τὸν βοηθῇ εἰς τὴν ἐπιστασίαν τῶν ἀδελφῶν.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου.



ΠΟΛΛΩΝ προσερχομένων τῷ Ἁγίῳ Παχωμίῳ ἐπὶ τῷ ποιμαίνεσθαι ὑπ᾽ αὐτοῦ, καὶ αὐξανομένων τῶν ἀδελφῶν εἰς πλῆθος μέγιστον, ἔταξέ τινας ἐξ αὐτῶν τοὺς ὀφείλοντας ἀντιλαμβάνεσθαι αὐτοῦ εἰς περιποίησιν τῶν ἐπισυναγομένων ἀδελφῶν καὶ αὐτὸς δὲ ὁ Πατὴρ ἐν ἅπασιν ὑπὸ τῆς Χάριτος ὁδηγούμενος, ἑκάστης πολιτείας κανόνας τύπους ἐδίδου.

2. Τοῖς μὲν γὰρ ἦν ἡ διὰ χειρῶν ἐργασία πρὸς διατροφήν, τοῖς δὲ ἡ πρὸς διακονίαν τῆς ἀδελφότητος λειτουργία· οἰκονόμον μὲν οὖν περὶ τῆς σωματικῆς χρείας τῆς εἰς τοὺς ἀδελφούς, καὶ τοὺς ξένους, καὶ δευτερεύοντα τούτου κατέστησε.

3. Πάντας δὲ αὐτοὺς ἑτοίμους πρὸς ἅπασαν ὑπακοὴν εἶναι παρακελεύει, μὴ ἔχειν δὲ θέλημα καρδίας ἴδιον, ἐν μηδενὶ διεκελεύετο, ἵν᾽ οὕτως καρποφορῶσι τῷ Θεῷ μᾶλλον, καὶ μὴ ἑαυτοῖς.

4. Ἀσχολουμένου δὲ αὐτοῦ πολλάκις, ἢ ἀπόντος, ὁ Δευτερεύων ἦν αὐτῷ πρὸς πᾶσαν διαγωγὴν τῆς Μονῆς, ἐκτὸς τινος ὑψηλοφροσύνης καὶ καυχήματος, ἐν ταπεινοφροσύνῃ πολλῇ, εἰς οἰκοδομὴν καὶ ὠφέλειαν τῶν ἀδελφῶν πάντα πράττων καὶ διατυπῶν, ἕως ἂν πολλάκις ὁ Πατὴρ πρὸς αὐτοὺς παρεγένετο.

Ἑρμηνεία

ΕΠΕΙΔΗ ἤρχοντο πολλοὶ πλησίον τοῦ Ἁγίου Παχωμίου διὰ νὰ ὑποταχθοῦν εἰς αὐτὸν καὶ νὰ διοικῶνται πνευματικῶς ὑπὸ τούτου καὶ ἐπειδή, καθημερινῶς, ηὐξάνοντο οἱ προσερχόμενοι, σχη-

ματίζοντες μέγιστον πλῆθος, δι' αὐτὸ ὁ Ἅγιος ἠναγκάσθη νὰ ἀναθέσῃ εἰς μερικοὺς ἐξ αὐτῶν τὸ διακόνημα νὰ τὸν βοηθοῦν εἰς τὴν φροντίδα καὶ περιποίησιν τῶν προσερχομένων ἀδελφῶν. Καὶ ὁ ἴδιος δὲ ὁ Πατήρ, ὁδηγούμενος ὑπὸ τῆς Χάριτος τοῦ Παναγίου Πνεύματος, ἔδιδεν εἰς ἕνα ἕκαστον ἐξ αὐτῶν τὸν ὡρισμένον κανόνα καὶ τύπον ζωῆς, μὲ τὸν ὁποῖον ἔπρεπε νὰ ζῇ εἰς τὴν Μοναχικὴν αὐτὴν Πολιτείαν.

2. Οὕτω εἰς ἄλλους μὲν ἐδόθη ἡ ἐντολὴ νὰ ἐκτελοῦν ἐργόχειρον διὰ τὴν διατροφήν των, εἰς ἄλλους δὲ ἀνετέθη ἡ ὑπηρεσία διὰ τὴν περιποίησιν τῆς ἀδελφότητος. Ἐπὶ πλέον ἀνέθεσεν εἰς ἕνα ἀδελφὸν καθήκοντα οἰκονόμου, διὰ νὰ προμηθεύεται τὰς ἀναγκαίας τροφὰς καὶ ἐφόδια, διὰ τὴν συντήρησιν τῶν ἀδελφῶν καὶ τῶν ξένων· τοῦτον κατέστησε καὶ Δευτερεύοντα, νὰ ἔχῃ δηλαδὴ τὴν φροντίδα καὶ τὴν ἐπιμέλειαν τῆς ἀδελφότητος ἀμέσως μετὰ ἀπὸ αὐτόν.

3. Ὅλους δὲ αὐτοὺς τοὺς ἐδίδασκεν ὁ Ἅγιος μετ' ἐπιμονῆς καὶ τοὺς ἐπέβαλλε νὰ εἶναι ψυχικῶς ἕτοιμοι πρὸς πᾶσαν ὑπακοήν, καὶ νὰ μὴ ἔχουν, εἰς οὐδεμίαν περίπτωσιν, θέλημα ἰδικόν των, οὕτως ὥστε νὰ καρποφοροῦν κατὰ Θεὸν καὶ ὄχι νὰ θεραπεύουν τὰ πάθη των.

4. Ὅταν δὲ αὐτὸς πολλάκις ἦτο ἀπησχολημένος ἢ ἀπουσίαζεν, ὁ Δευτερεύων ἀνελάμβανεν ὁλόκληρον τὴν διοίκησιν τῆς Μονῆς, χωρὶς καμμίαν ὑψηλοφροσύνην ἢ καύχημα, ἀλλ' ἐνεργῶν καὶ ρυθμίζων τὰ πάντα, μὲ μεγάλην ταπεινοφροσύνην, πρὸς οἰκοδομὴν καὶ πνευματικὴν ὠφέλειαν τῶν ἀδελφῶν, ἕως ὅτου καὶ πάλιν ἐπανήρχετο πλησίον των ὁ Ἅγιος Παχώμιος.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἐφραίμ.

ΤΩ Ἁγίῳ Ἐφραὶμ δαψιλῶς λίαν παρὰ Θεοῦ τὸ τῆς διδασκαλίας ἐδέδοτο τάλαντον, ὃ καὶ διαφερόντως ἐκεῖνος εἰς τὰς τῶν ψυχῶν αὐξάνειν τραπέζας ἀεὶ ἐσπούδαζε.

2. Καὶ τοῦτο αὐτὸς ἐπισημαίνεται λέγων· ὡς ἄρα παῖς ἔτι ὢν καὶ ἐν τοῖς ἐφήβου, ἄμπελον ἴδοι τινὰ βριθομένην πολλοῖς τοῖς βότρυσι, τῆς ἑαυτοῦ γλώττης ἀναδοθεῖσαν, ἐπὶ πολύ τε ὕψος ἀρθεῖσαν, καὶ τὰ νῶτα πάσης ἐπισχοῦσαν τῆς γῆς καὶ πᾶν μὲν πτηνὸν ἐφιζάνον ἦν αὐτῇ, καὶ περιπετόμενον, καὶ τῶν βοτρύων σιτούμενον· ἡ δὲ ἄμπελος ὅσῳ μᾶλλον τοὺς βότρυας ὑπεξῄρει τὸ καὶ τοὺς ὄρνιθας φιλοτίμως ἐδεξιοῦτο, τοσοῦτον πλεῖον ἔβρυε τῷ καρπῷ, και πολὺν αὐτὸν ἐκυοφόρει καὶ ἄφθονον.

3. Καὶ τοῦτο μὲν αὐτός φησι περὶ ἑαυτοῦ· ἐκείνῳ δέ, τῷ Ἐφραίμ, καὶ ἄλλοι προσμαρτυροῦσι τῶν βλέπειν τὰ τοιαῦτα ἠξιωμένων.

4. Θεάσασθαί ποτε, λέγουσιν, Ἀγγέλων πληθὺν ἄνωθεν κατιόντων, καὶ τόμον, τά τε ἔνδον καὶ τὰ ἐκτὸς γεγραμμένον ἐχόντων διὰ χειρός, ἐσκόπει δὲ ἡ φανεῖσα ὄψις ἐκείνη πρὸς ἑαυτήν, τίς ποτε ἄρα τὸν τόμον ἐγχειρισθείη; Καὶ τῶν μὲν τοῦτον, τῶν δὲ ἐκεῖνον, καὶ ἄλλων μὲν ἄλλον προβαλλομένων, ὅσοι δηλαδὴ καὶ βίον εὐλαβῆ καὶ σώφρονα μετιόντες ἦσαν, τέλος, ἐπὶ τῷ Ἐφραὶμ ἁπάντων συμφωνησάντων, αὐτὸς καὶ τὸν τόμον ὑπὸ τῆς ἱερᾶς πληθύος πιστεύεται.

5. Διϋπνισθεὶς οὖν ὁ τὴν ὄψιν ἰδών, περίφοβος τὴν Ἐκκλησίαν καταλαμβάνει, καὶ τὸν Ἐφραὶμ εὑρὼν ἐν αὐτῇ διδασκαλίαις ὅτι χρησταῖς, καὶ αὐτοῦ μέλιτος ἡδυτέραις τοὺς παρόντας ἐνεστιῶντα, ταύτῃ τὸ ὄναρ συμβάλλει.

6. Καὶ ὁ μὲν ἀξίαν ὁμολογεῖ τῷ Θεῷ Χάριν· ἐξ Ἐκείνου δέ, τῷ Ἐφραὶμ οὕτως ἔσχε τὰ τοῦ λόγου ῥεῖθρα περιττῶς καὶ συντόνως, καὶ τοσοῦτον αὐτὸν ἡ τῶν ἐνθυμημάτων συνέχεια ἐπικλύζουσα ἦν, ὡς μηδὲ τὴν γλῶτταν ἱκανῶς ἔχειν ὑπηρετεῖν τῷ τάχει τῶν νοημάτων, καίτοιγε τοιαύτῃ κεχρημένον εὐροίᾳ περὶ τὸ λέγειν, καὶ οὕτως ἑτοιμότατα τὸ νοηθὲν ἀπαγγέλλουσαν, ὡς μηδὲ εἰς τάχους λόγων αὐτὴν ἀπολείπεσθαι, τῶν παρ' ἄλλοις ἐνθυμημάτων.

7. Ὥστε κἀκεῖνον λέγεταί ποτε φάναι πρὸς τὸν Θεόν, ἄνες, ὦ Δέσποτα, τὰ κύματα τῆς Χάριτός Σου. Ὑπὸ γὰρ τὴν γλῶτταν ἡ τῆς διδασκαλίας ἄβυσσος πελαγίζουσα, στέγειν αὐτὸν οὐκ εἴα λοιπόν, τῶν πρὸς τὸ λέγειν ὀργάνων οὐχ ὑπουργούντων. Ἐπέκοπτε δὲ τοὺς λόγους, ἕτερον μὲν οὐδέν, εὐχὴ δὲ μόνη καὶ ταύτην, τὰ δάκρυα.

8. Φιλανθρωπίας δὲ καὶ πτωχοτροφίας, καὶ τοῦ πρὸς πένητας οἴκτου, τοσοῦτος αὐτῷ λόγος, καὶ οὕτω τῆς ἐκείνων ἀντείχετο προστασίας, ὥστ' ἐπείπερ οἴκοθεν οὐκ εἶχε μεταδιδόναι πόθεν, ὅς γε καὶ αὐτῶν ἠπόρει τῶν ἀναγκαίων, ὃ μόνον εἶχε, τοῦτο πρὸς τὴν αὐτῶν σωτηρίαν ἐκέχρητο, καὶ τῇ τῆς γλώττης σοφίᾳ καὶ τῇ συνέσει, πολλοὺς τῶν πλουσίων καὶ χεῖρα καὶ σπλάγχνα καὶ ταμιεῖα, φημί, διανοίξας, ἀφθόνως δι' αὐτῶν ἐχορήγει τοῖς δεομένοις.

9. Ἦν γὰρ οὐχ ὁ λόγος τοῦ ἀνδρὸς μόνον οἷος ψυχὰς μεταλλάξαι, καὶ μεταθέλξαι, καὶ κινῆσαι πρὸς ἔλεον, ἀλλὰ καὶ αὐτὴ ἡ ὄψις καὶ τὸ τοῦ ἤθους ἐπιεικές τε καὶ μέτριον· πολλάκις δὲ καὶ αὐτὸ τὸ ἐμβλέψαι ταῖς τῶν ἄλλων ψυχαῖς, ἱκανὸν πρὸς κατάνυξιν.

10. Οὕτως εἰς τὴν ἐκείνου ψυχὴν ἀρετὴ πᾶσα πεφύτευτο, ὥστε πηγὴν ἄν τις αὐτὸν καλέσειεν εἰκότως παντοδαποῖς νάμασι βρύουσαν, ἢ λειμῶνα ποικίλοις ἄνθεσι, καὶ ῥόδοις κομῶντα, ἢ καὶ οὐρανὸν ἐπὶ γῆς ἄλλον, τῶν ἄστρων πλήθει πάντοθεν ποικιλλόμενον.

11. Εἰ βούλει δὲ καὶ Παράδεισον οἷον τὸν τῆς Ἐδὲμ ἀκούεις ἀκμάζοντα, καὶ φαιδρὸν ἀεὶ καὶ μηδέποτε μαραινόμενον, ἀλλὰ φυτοῖς ἐγκάρποις καὶ ἀκηράτοις ἀείποτε θάλλοντα, πλὴν ὄφει μόνῳ τὸ παράπαν ἄψαυστον καὶ ἀνεπίβατον, τῷ πονηρῷ καὶ βασκάνῳ καὶ τῆς σωτηρίας ἐπιβούλῳ τῆς ἡμετέρας.

Ἑρμηνεία

ΕΙΣ τὸν Ἅγιον Ἐφραὶμ ὁ Θεὸς ἔδωσε πλουσιοπάροχα τὸ τάλαντον τῆς διδασκαλίας, τὸ ὁποῖον ἐκεῖνος μετὰ μεγάλου ἐνδιαφέροντος ἐφρόντιζε πάντοτε νὰ αὐξάνῃ διὰ τῆς καταθέσεως αὐτοῦ εἰς τὰς ψυχὰς τῶν μαθητῶν του.

2. Αὐτὸ καὶ ὁ ἴδιος τὸ φανερώνει λέγων: «ὅταν ἀκόμη ἤμουν παιδὶ καὶ προσήγγιζα τὴν ἐφηβικὴν ἡλικίαν, εἶδον κάποτε τὸ ἑξῆς περίεργον ὄνειρον· ἀπὸ τὴν γλῶσσαν μου εἶχε φυτρώσει μία ἄμπελος μὲ πολλὰ σταφύλια. Ἡ ἄμπελος αὐτὴ ὑψώθη ἐπὶ πολὺ καὶ τὰ κλαδιά της ἐκάλυψαν ὅλη σχεδὸν τὴν γῆν. Ἐπὶ τῆς ἀμπέλου αὐτῆς ἐπεκάθηντο τὰ διάφορα πτηνὰ ἢ ἐπέτων ἀπὸ κλάδου εἰς κλάδον, τρεφόμενα ἀπὸ τὰ σταφύλια τῆς ἀμπέλου. Ἡ ἄμπελος ὅσον περισσότερον ἐφιλοξένει τὰ πτηνὰ αὐτὰ καὶ ὅσον περισσότερον αὐτὰ τὰ πτηνὰ τῆς κατατρυγοῦσαν τὰ σταφύλια, τόσον περισσότερον ἐκαρποφόρει καὶ ἐγέμιζεν ἀπὸ νέα ἀφθονώτερα σταφύλια».

3. Καὶ αὐτὸ μὲν τὸ ὄνειρον, ποὺ ἀνεφέρετο εἰς τὸν ἑαυτόν του, τὸ εἶδεν ὁ ἴδιος. Καὶ ἄλλοι ὅμως διορατικοὶ ἄνθρωποι, ποὺ ἠξιώθη-

σαν νὰ βλέπουν τοιαῦτα ἀποκαλυπτικὰ ὄνειρα, διαβεβαιοῦν, ὅτι εἶδον θαμασίας περὶ τοῦ Ἐφραὶμ ἀποκαλύψεις. Ἕνας ἐξ αὐτῶν ἀνέφερε τὴν ἑξῆς χαρακτηριστικὴν ἀποκάλυψιν:

4. «Εἶδε κάποτε πλῆθος Ἀγγέλων, ποὺ κατήρχετο πρὸς τὴν γῆν ὑψηλὰ ἀπὸ τὸν οὐρανόν. Οὗτοι ἐκράτουν εἰς τὰς χεῖρας των ἕνα βιβλίον, ποὺ ἦτο γραμμένον καὶ εἰς τὴν ἐσωτερικὴν καὶ εἰς τὴν ἐξωτερικὴν ἐπιφάνειαν αὐτοῦ. Μεταξύ των δὲ οἱ Ἅγιοι αὐτοὶ Ἄγγελοι συνεζήτουν εἰς ποῖον νὰ ἐμπιστευθοῦν τὸ οὐρανόγραπτον αὐτὸ βιβλίον, ἐξ ἐκείνων βεβαίως, ποὺ εἶχον σώφρονα καὶ εὐλαβῆ ζωήν. Τέλος ὅλοι συνεφώνησαν νὰ ἐπιδοθῇ τὸ βιβλίον εἰς τὸν Ἐφραίμ. Πράγματι τὸ Ἅγιον αὐτὸ πλῆθος τῶν Ἀγγέλων ἐμπιστεύεται εἰς χεῖρας τοῦ Ἐφραὶμ τὸ βιβλίον αὐτό».

5. Ὅταν ἐξύπνησεν αὐτὸς ποὺ εἶδε τὸ ἀποκαλυπτικὸν αὐτὸ ὅραμα, προσέρχεται γεμᾶτος φόβον εἰς τὴν Ἐκκλησίαν· καὶ τί βλέπει εἰς τὸν ἱερὸν ἐκεῖνον τόπον; Εἶδε τὸν Ἐφραὶμ ποὺ ἔτρεφε πνευματικῶς τοὺς παρισταμένους μὲ διδασκαλίας ὠφελίμους κατὰ τὸ περιεχόμενον καὶ γλυκυτέρας μέλιτος κατὰ τὴν ἔκφρασιν καὶ ὡραιολόγον διατύπωσιν. Ἡ πραγματικότης αὐτὴ ἐστάθη καὶ ἡ βάσις τῆς ἑρμηνείας τοῦ ἐνυπνίου.

6. Καὶ ὁ μὲν εὐχαριστεῖ ἐπαξίως τὸν Θεὸν διὰ τὴν δοθεῖσαν εἰς αὐτὸν χάριν τῆς ἀποκαλύψεως· ὁ δὲ Θεὸς ἀπὸ τὴν ἡμέραν ἐκείνην, ἐπὶ τοσοῦτον ἐπλούτησε τὸν Ἐφραὶμ εἰς ἔντασιν λόγου καὶ εὐφράδειαν, καὶ τόσον πολὺ κατεκλύσθη ὁ νοῦς του ἀπὸ τὸν θησαυρὸν τῶν ὑψηλῶν σκέψεων, ὥστε ἡ γλῶσσα του δὲν ἐπρολάμβανε νὰ ἀνταποκριθῇ εἰς τὴν ταχύτητα τῶν νοημάτων, ἂν καὶ ἐχρησιμοποίει τόσον πλούσιον λεξιλόγιον, καὶ μὲ τοσαύτην ἐπιτυχίαν ἀπέδιδε τὸ νοούμενον, ὥστε ἠδύνατο νὰ λέγῃ περισσότερα καὶ ἐκφραστικώτερα συντομώτερον ἀπὸ ὅσον χρόνον ἐχρειάζοντο ἄλλοι διὰ νὰ σκεφθοῦν.

7. Καὶ ὁ ἴδιος δὲ ἐπὶ τοσοῦτον ᾐσθάνετο εἰς τὸν ψυχικόν του κόσμον τὸν κατακλυσμὸν τῶν θείων αὐτῶν χαρισμάτων, ὥστε, καθὼς λέγουν ὅσοι τὸν ἐγνώρισαν, εἶπε κάποτε πρὸς τὸν Θεόν· «Ὦ Δέσποτά μου, συγκράτησε τὰ κύματα τῆς Χάριτός Σου». Τὸ ἔλεγε δὲ αὐτό, διότι κάτω ἀπὸ τὴν γλῶσσαν του ὑπῆρχε πέλαγος διδασκαλίας, ὡς ἄβυσσος, καὶ δὲν τὸν ἄφηνε νὰ ὑπομένῃ· τὰ δὲ ὄργανα τοῦ προφορικοῦ λόγου δὲν ἐπρόφθαναν νὰ ὑπηρετήσουν αὐτὸ τὸ πλῆθος τῶν νοημάτων, ὡς εἴπομεν. Τίποτε δὲ ἄλλο δὲν ἦτο ἱκανὸν νὰ τὸν κάμῃ νὰ διακόψῃ τὴν ὁμιλίαν του παρὰ μόνον ἡ προσευχὴ καὶ ταύτην πάλιν τὰ δάκρυα.

8. Ἀλλὰ καὶ εἰς τὴν φιλανθρωπίαν καὶ τὴν διατροφὴν τῶν πτωχῶν καὶ τὸν οἶκτον πρὸς τοὺς δυστυχεῖς δὲν ὑστέρησε καθόλου, καθὼς λέγουν, ἀλλὰ ἀνταπεκρίνετο κατὰ τὸν ἑξῆς τρόπον εἰς τὸ καθῆκον τῆς προστασίας των· ἐπειδὴ βεβαίως ἐξ ἰδίων του δὲν εἶχε τὸν τρόπον πῶς νὰ τοὺς βοηθήσῃ, διότι καὶ αὐτὸς ἦτο πάμπτωχος καὶ ἀκτήμων, αὐτὸ μόνον ἐχρησιμοίησε διὰ τὴν φροντίδα καὶ σωτηρίαν των· μὲ τὴν

σοφίαν, δηλαδή, καὶ τὴν σύνεσιν τῆς γλώσσης του, ἐπέτυχε νὰ συγκινήσῃ πολλοὺς ἐκ τῶν πλουσίων, ὥστε οὗτοι νὰ ἀνοίξουν τὰ σπλάγχνα των πρὸς συμπάθειαν τῶν πτωχῶν καὶ μετὰ ταῦτα τὰ ταμεῖα των, διὰ νὰ δώσουν ἐλεημοσύνην. Τοιουτοτρόπως, δι' αὐτῶν τῶν πλουσίων ἔδιδε μὲ ἀφθονίαν εἰς αὐτούς, ποὺ εἶχον ἀνάγκην.

9. Διότι δὲν ἦτο μόνον ἡ ὁμιλία τοῦ Ἁγίου ἀνδρὸς ἱκανὴ νὰ ἀλλάξῃ ψυχικὰς διαθέσεις, καὶ κυριολεκτικῶς νὰ μαγεύσῃ τοὺς ἀκροατάς του καὶ νὰ τοὺς παρακινήσῃ πρὸς ἐλεημοσύνην, ἀλλὰ ἐβοήθει πρὸς τοῦτο καὶ ἡ μορφή του καὶ ἡ γλυκύτης τῆς ἐκφράσεώς του καὶ ἡ μετριοφροσύνη του. Πολλάκις μάλιστα τοιαύτην ἐπίδρασιν ἐξήσκει διὰ τῆς φυσιογνωμίας του, ὥστε καὶ μόνον νὰ ἔβλεπε τοὺς ἄλλους, προεκάλει εἰς τὰς ψυχάς των κατάνυξιν.

10. Τόσον δὲ πλουσίως εἰς τὴν ψυχήν του εἶχε φυτευθῆ καὶ καρποφορήσει κάθε ἀρετή, ὥστε δὲν θὰ ἔσφαλλε κανείς, ἐὰν τὸν ὠνόμαζε πηγὴν ἀναβρύουσαν παντὸς εἴδους ἰάματα, ἢ λειβάδι στολισμένον μὲ ποικιλόχρωμα ἄνθη καὶ ῥόδα· ἢ ἀκόμη, καὶ δεύτερον οὐρανὸν ἐπάνω εἰς τὴν γῆν καταστόλιστον ἀπὸ παντοῦ μὲ πλήθη ἀστέρων.

11. Ἐὰν θέλῃς δὲ ἀκόμη, ἡ ψυχὴ τοῦ Ἁγίου Ἐφραὶμ ὡμοίαζε καὶ μὲ Παράδεισον, ὅπως ἀκοῦς ὅτι ἤκμαζε κάποτε ἐκεῖνος εἰς τὴν Ἐδέμ, ὁλάνθιστος καὶ χαρούμενος πάντοτε, καὶ χωρὶς ποτὲ νὰ μαραίνεται, ἀλλὰ διαρκῶς στολισμένος μὲ καρποφόρα καὶ ἀμάραντα φυτά. Ἀπὸ τὸν Παράδεισον δὲ τῆς ψυχῆς τοῦ Ἁγίου Ἐφραὶμ ἔλειπεν ὁ ὄφις, ποὺ φθονεῖ καὶ ἐπιβουλεύεται τὴν σωτηρίαν μας, καὶ ὅστις καθόλου δὲ τὸν ἤγγισε καὶ δὲν εἰσῆλθεν εἰς τὴν ψυχήν του.

Γ'. Ἐν τῷ Γεροντικῷ.

ΓΕΡΩΝ τις ἦν ἐν Σκήτει, πεπονηκὼς μὲν ἐν τῷ σωματικῷ, οὐκ ἀκριβὴς δὲ ἐν τοῖς λογισμοῖς· ἀπῆλθεν οὖν εἰς τὸν Ἀββᾶν Ἰωάννην, καὶ ἠρώτησεν αὐτὸν περὶ τῆς λήθης· καὶ ἀκούσας παρ' αὐτοῦ λόγον, ὑπέστρεψεν εἰς τὴν ἰδίαν κέλλαν· καὶ ἐν τῷ μεταξὺ ἐπελάθετο τοῦ λόγου, οὗ εἶπεν αὐτῷ ὁ Ἀββᾶς Ἰωάννης.

2. Καὶ πάλιν ἀπῆλθε, καὶ ἠρώτησεν αὐτόν· καὶ ἀκούσας τὸν λόγον ὑπέστρεψεν. Ὡς δὲ ἔφθασεν εἰς τὸ κελλίον, πάλιν ἐπελάθετο· καὶ πάλιν ἐπαναστρέψας, ἠρώτησε, καὶ ἐπανελθὼν ἐπελάθετο· καὶ τοῦτο πολλάκις γέγονε, καὶ οὕτως ὁ Γέρων ὑπὸ τῆς λήθης ἐκυριεύετο.

3. Μετὰ δὲ ταῦτα, ὑπαντήσας τῷ Ἀββᾷ Ἰωάννῃ, εἶπεν· οἶδας, Ἀββᾶ, ὅτι πάλιν ἐπελαθόμην ὅ μοι εἴρηκας; ἀλλ' ἵνα μὴ καὶ ἔτι ὀχλήσω σοι, οὐκ ἦλθον.

4. Καὶ λέγει αὐτῷ ὁ Γέρων· ὕπαγε ἅψαι λύχνον· καὶ ἧψε. Εἶπε δὲ αὐτῷ πάλιν· φέρε ἄλλους λύχνους, καὶ ἅψον ἐξ αὐτοῦ· καὶ ἐποίησεν οὕτως. Καὶ εἶπεν αὐτῷ ὁ Ἀββᾶς Ἰωάννης μὴ τίποτε ἐβλάβη ὁ λύχνος ὅτι ἀνῆψας ἐξ αὐτοῦ καὶ ἄλλους λύχνους; Ἀπεκρίθη ἐκεῖνος· οὐχί.

5. Καὶ λέγει ὁ Γέρων· οὕτως οὐδὲ Ἰωάννης, ἐὰν ἡ Σκῆτις ὅλη ἔρχεται πρός με, οὐ μή με ἐμποδίσει ἀπὸ τῆς Χάριτος τοῦ Χριστοῦ· τοίνυν ὅτε θέλεις, ἔρχου, μηδὲν διακρινόμενος. Καὶ οὕτω διὰ τῆς ὑπομονῆς ἀμφοτέρων ἦρε τὴν λήθην ὁ Θεὸς ἀπὸ τοῦ Γέροντος.

6. Αὕτη δὲ ἦν ἡ ἐργασία τῶν Σκητιωτῶν· διδόναι προθυμίαν τοῖς πολεμουμένοις καὶ βιαζομένοις ἑαυτοὺς εἰς τὸ κερδῆσαι ἀλλήλους εἰς τὸ ἀγαθόν.

Ἑρμηνεία

ΕΖΗ κάποτε εἰς μίαν Σκήτην ἕνας Γέρων· οὗτος εἶχε μὲν κοπιάσει, κατὰ τὴν σωματικὴν ἄσκησιν, δὲν διεκρίνετο ὅμως διὰ τὴν ἀκρίβειαν καὶ τὴν προσοχὴν τῶν λογισμῶν του. Κάποτε λοιπὸν ὁ Γέρων αὐτὸς μετέβη πρὸς τὸν Ἀββᾶν Ἰωάννην καὶ τὸν παρεκάλεσε νὰ τοῦ ἐξηγήσῃ τὶ εἶναι λήθη. Ἀφοῦ ἤκουσε καὶ ἐπληροφορήθη περὶ τῆς ὑποθέσεως, ποὺ ἐζήτει, ἐπέστρεψε καὶ πάλιν εἰς τὸ κελλί του· ἐν τῷ μεταξὺ ὅμως ἐλησμόνησε τὴν διδασκαλίαν, ποὺ τοῦ ἀνέπτυξεν ὁ Ἀββᾶς Ἰωάννης.

2. Καὶ πάλιν λοιπὸν μετέβη καὶ τὸν ἠρώτησεν· ἀκούσας δὲ τὴν διδασκαλίαν ἐπέστρεψεν. Ἀλλὰ καὶ πάλιν, μόλις ἐπέστρεψεν εἰς τὸ κελλί του, ἐλησμόνησεν ὅσα ἤκουσεν. Ἐν τῇ ἐπιμονῇ του νὰ συγκρατήσῃ ὅσα ἔλεγε περὶ λήθης ὁ Ἀββᾶς Ἰωάννης, μετέβη ἐκ νέου πρὸς τὸν Ἀββᾶ Ἰωάννην καὶ ἐπέστρεψεν. Αὐτὸ τὸ ἔκαμε πολλὰς φοράς, διότι τὸν ἐνικοῦσεν ἡ λησμοσύνη.

3. Μετὰ ἀπὸ ὀλίγον καιρὸν συνήντησε τυχαίως τὸν Ἀββᾶν Ἰωάννην καὶ τοῦ εἶπε:

—Γνωρίζεις, Ἀββᾶ μου, ὅτι ἐλησμόνησα αὐτό, ποὺ μοῦ εἶπες, ἀλλὰ διὰ νὰ μὴ σὲ ἐνοχλήσω, δὲν ξαναῆλθα νὰ σὲ ἐρωτήσω;

4. Εἰς ἀπάντησιν ὁ Ἀββᾶς Ἰωάννης τοῦ λέγει:

—Πήγαινε νὰ ἀνάψῃς ἕνα λυχνάρι.

Ὁ Γέρων μετέβη καὶ ἤναψεν ἕνα λυχνάρι. Τότε ὁ Ἀββᾶς Ἰωάννης τοῦ λέγει πάλιν:

—Φέρε τώρα ἄλλους λύχνους καὶ ἄναψέ τους ἀπὸ τὸ φῶς αὐτοῦ τοῦ λυχναριοῦ.

Πράγματι, ἀφοῦ ὁ Γέρων ἐξετέλεσε καὶ αὐτὴν τὴν ἐντολήν, ὁ Ἀββᾶς Ἰωάννης τὸν ἐρωτᾷ:

—Γέροντα, ἔπαθε τίποτε ὁ πρῶτος λύχνος, ἐπειδὴ ἄναψες ἀπὸ τὸ φῶς του καὶ ἄλλα λυχνάρια;

—Ὄχι—ἀπήντησεν ὁ Γέρων.

5. Τότε ὁ Ἀββᾶς Ἰωάννης διετύπωσε τὸ ἐπαγωγὸν συμπέρασμα:

—Τὸ ἴδιον συμβαίνει, Γέροντά μου, καὶ εἰς αὐτὴν τὴν περίπτωσιν· καὶ ἂν ἀκόμη ἔρχεται πρὸς ἐμὲ ὅλη ἡ Σκήτη, δὲν θὰ ἠμπορέσῃ νὰ ἐξαντλήσῃ τὴν εἰς ἐμὲ ἐνέργειαν τῆς Χάριτος τοῦ Χριστοῦ. Λοιπὸν καὶ σὺ νὰ ἔρχεσαι, ὁπόταν θέλῃς, χωρὶς νὰ σκέπτεσαι τίποτε.

Τοιουτοτρόπως διὰ τῆς ὑπομονῆς, ποὺ ἔδειξαν καὶ οἱ δύο, ὁ μὲν Ἀββᾶς Ἰωάννης νὰ νουθετῇ χωρὶς νὰ κουράζεται καὶ ὁ Γέρων νὰ προσέρχεται, διὰ νὰ κατανικᾷ τὸ ἐμπόδιον τῆς ψυχῆς του, ηὐδόκησεν ὁ Θεὸς καὶ ἔφυγεν ἀπὸ τὴν ψυχὴν τοῦ Γέροντος ἡ λησμοσύνη.

6. Αὐτὴ δὲ ἀκριβῶς ἦτο καὶ ἡ ἐργασία τῶν Πατέρων τῆς Σκήτης· νὰ ἐμπνέουν δηλαδὴ προθυμίαν εἰς ὅσους ἐπολεμοῦντο ἀπὸ τὸ κακὸν καὶ ἠγωνίζοντο νὰ κερδίσῃ ὁ ἕνας τὸν ἄλλον εἰς τὸ ἀγαθόν.

Δ'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΜΗ ἐπιθύμει ἄρχειν ψυχῶν, μήπως οὔπω ἐπέβης τῶν τῆς ἀπαθείας μέτρων καὶ σεαυτὸν βλάψῃς καὶ τοὺς ἑπομένους σοι· εἰ δὲ ἄκων ὑπὸ Θεοῦ εἰς τοῦτο κατέστης, φροντίδα ποιοῦ, οὐχ ἵνα τὰ σὰ θελήματα πράττῃς, ἀλλὰ τοῦ ἐμπιστεύσαντός σοι τῶν λογικῶν προβάτων τὴν ἐπιμέλειαν· μέγαν γὰρ κίνδυνον ἔχει τὸ καταφρονητικῶς καὶ ἠμελημένως φροντίζειν τῶν ὑποτεταγμένων.

2. Χρὴ γὰρ τὸν Ἡγούμενον ἐπιστημονικώτατον εἶναι, καὶ διεγηγερμένον πρὸς σωτηρίαν τῶν ἀρχομένων· καὶ κατανοεῖν καὶ γινώσκειν ἑκάστου, καὶ βῆμα, καὶ κίνημα, καὶ στολισμόν, καὶ τὰ ἀπρεπῆ διελέγχειν, χειραγωγεῖν πρὸς τὰ βέλτιστα, καὶ πάντα τὰ πρὸς σωτηρίαν συντείνοντα ὑποτιθέναι τοῖς ἀδελφοῖς, ἄχρι καὶ τῶν σμικροτάτων.

3. Καὶ τοῖς ῥαθύμοις τὰς ἠπειλημένας τιμωρίας διαμαρτύρεσθαι, ἵνα τεῖχος γενόμενα, εἴργωσι τὸν αἴτιον ἀπὸ τοῦ ἐναντίου· οὕτως οἱ λύκοι καθορῶντες τὴν τοῦ Ποιμένος ἐπιμέλειαν, φεύξονται πόῤῥω τῆς τῶν λογικῶν προβάτων ἀγέλης.

4. Ἀληθῶς γὰρ οὐδὲν οὕτως ἀνάγει ψυχὴν πρὸς σωτηρίαν, καὶ νεανικωτέραν πρὸς τοὺς πόνους καθίστησιν, ὡς τὸ εὑρεῖν διδάσκαλον ἔργῳ καὶ λόγῳ τὴν ἀρετὴν παιδεύοντα καὶ κηρύττοντα, κατὰ τὸν λέγοντα· «ἀπ' ἐμοῦ ὄψεσθε, καὶ οὕτω ποιήσετε».

Ἑρμηνεία

ΜΗ ἐπιθυμῇς νὰ διοικῇς ψυχάς, μήπως δὲν ἔφθασες ἀκόμη εἰς μέτρα ἀπαθείας καὶ τοιουτοτρόπως ζημιώσῃς τὸν ἑαυτόν σου καὶ τοὺς ὑποτακτικούς σου. Ἐὰν δὲ εἰς τὸ ἔργον τῆς διοικήσεως ψυχῶν κατεστάθης παρὰ τὴν θέλησίν σου, διότι τοῦτο ἦτο τὸ θέλημα τοῦ Θεοῦ, φρόντιζε νὰ μὴ ἐκτελῇς τὰ θελήματά σου, ἀλλὰ μόνον τὸ θέλημα ἐκείνου, ποὺ σοῦ ἐνεπιστεύθη τὴν φροντίδα τῶν λογικῶν προβάτων· διότι ἐνέχει μέγιστον κίνδυνον τὸ νὰ φροντίζῃ κανεὶς διὰ τοὺς ὑποτακτικούς του μὲ ἀμέλειαν καὶ περιφρόνησιν πρὸς τὸ καθῆκον.

2. Πρέπει λοιπὸν ὁ Ἡγούμενος νὰ εἶναι βαθὺς γνώστης τῶν καθηκόντων του καὶ τῆς ἀποστολῆς του, ὅπως ὁ ἐπιστήμων γνωρίζει τὴν ἐπιστήμην του, καὶ νὰ εἶναι ἄγρυπνος ἡ προσοχή του διὰ τὴν σωτηρίαν τῶν ὑποτακτικῶν του· πρέπει νὰ γνωρίζῃ καλῶς καὶ νὰ ἀντιλαμβάνεται μὲ ἀκρίβειαν καὶ λεπτομέρειαν τὴν ψυχικὴν κατάστασιν ἑνὸς ἑκάστου ἀπὸ τὸ βῆμα του, τὰ κινήματά του, καὶ τὸν τρόπον μὲ τὸν ὁποῖον ἐνδύεται, νὰ ἐλέγχῃ δὲ ὅσα ἀπρεπῆ βλέπει, καὶ νὰ τοὺς ὁδηγῇ, ὅπως τὸν τυφλὸν ἀπὸ τὴν χεῖρα, πρὸς τὰ τελειότερα, ἐν γένει. Τέλος νὰ ὑποδεικνύῃ εἰς τοὺς ἀδελφοὺς ὅλα, ὅσα συντελοῦν εἰς τὴν σωτηρίαν τῆς ψυχῆς των, μέχρι καὶ τῶν τελευταίων ἀκόμη λεπτομερειῶν.

3. Τοὺς ῥαθύμους πρέπει νὰ διεγείρῃ πρὸς ἐργασίαν πνευματικήν, ὑπενθυμίζων πρὸς αὐτοὺς τὰς τιμωρίας, ποὺ ἔχουν ἀπειληθῆ ὑ-

πὸ τῶν Πατέρων κατὰ τῶν παραβαινόντων τὰ καθήκοντά των, ὥστε τὸ τοιοῦτον νὰ χρησιμεύσῃ ὡς τεῖχος, ποὺ θὰ προστατεύσῃ τὸν αἴτιον τῆς ραθυμίας ἀπὸ τὰς ἐπιθέσεις τοῦ ἐχθροῦ. Ὅταν ἐνεργῇ κατὰ τὸν τρόπον αὐτὸν ὁ Ἡγούμενος, τότε καὶ οἱ λύκοι, βλέποντες τὴν ἄγρυπνον φροντίδα τοῦ Ποιμένος, θὰ φύγουν πολὺ μακριὰ ἀπὸ τὸ κοπάδι τῶν λογικῶν προβάτων.

4. Πράγματι, τίποτε δὲν ὁδηγεῖ ἀσφαλέστερον τὴν ψυχὴν πρὸς τὴν ὁδὸν τῆς σωτηρίας, καὶ τίποτε δὲν τὴν καθιστᾷ νεανικωτέραν καὶ ρωμαλεωτέραν πρὸς τοὺς κόπους τῆς ἀσκήσεως καὶ τῆς ἀρετῆς, ἀπὸ τὸ νὰ εὕρῃ ὁ ἄνθρωπος διδάσκαλον, ποὺ νὰ διδάσκῃ μὲ τὸ ἔργον καὶ τὸν λόγον του τὴν ἀρετὴν καὶ νὰ κηρύττῃ ἐμπράκτως τὸ ἀγαθόν, συμφώνως καὶ πρὸς τὸ ρητόν, «ὅ,τι βλέπετε νὰ κάμνω ἐγώ, θὰ κάμνετε καὶ σεῖς» (Κριταὶ ζ' 17).

Ε'. Τοῦ 'Αββᾶ 'Ησαΐου.

ΕΛΕΓΕΝ ὁ Ἀββᾶς Ἡσαΐας τοῖς μετ' αὐτοῦ ἀδελφοῖς· βλέπετε, ἀδελφοί, μὴ ἀμελήσητε φυλάξαι τὰς ἐντολάς μου· ἐπεί, συγχωρήσατέ με, οὐκ ἀφήσω ὑμᾶς εἶναι μετ' ἐμοῦ.

2. Ἐὰν δὲ φυλάξητε καὶ ἐν τῷ κρυπτῷ καὶ ἐν τῷ φανερῷ, ἐγὼ λόγον τῷ Θεῷ δίδωμι ὑπὲρ ὑμῶν· ἐὰν δὲ μὴ φυλάξητε, ἀπαιτήσει ὑμᾶς λόγον ὑπὲρ τῆς ἰδίας ἀμελείας, καὶ ὑπὲρ τῆς ἐμῆς καταργίας.

3. Ὅστις δὲ φυλάξῃ τὰς ἐντολάς μου καὶ ἐν τῷ κρυπτῷ καὶ ἐν τῷ φανερῷ καὶ ὁ Δεσπότης Θεὸς φυλάξει αὐτὸν ἀπὸ παντὸς κακοῦ· καὶ σκεπάσει αὐτὸν ἀπὸ παντὸς πειρασμοῦ ἐρχομένου, εἴτε κρυπτοῦ εἴτε φανεροῦ.

4. Ὁ αὐτὸς εἶπεν· ἐὰν οἰκῶσι μετὰ σοῦ ἀδελφοί, φρόντισον αὐτῶν ἐν στρυφνότητι, ἐὰν ἀκούωσί σου, εἰδώς, ὅτι λόγον δώσεις τῷ Θεῷ περὶ αὐτῶν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἡσαΐας ἔλεγε πρὸς τοὺς ὑποτακτικούς του:
—Ἀδελφοί μου, μὴ ἀμελήσετε νὰ φυλάξετε καὶ νὰ ἐφαρμόσητε τὰς ἐντολάς, ποὺ σᾶς δίδω, διότι, καὶ σᾶς ζητῶ συγχώρησιν δι' αὐτὸ ποὺ σᾶς λέγω, δὲν θὰ σᾶς ἐπιτρέψω νὰ παραμείνετε μαζί μου.

2. Ἐὰν τηρήσητε τὰς ἐντολάς μου, καὶ κρυφὰ καὶ φανερά, ἐγὼ τότε θὰ δώσω λόγον εἰς τὸν Θεὸν διὰ σᾶς. Ἐὰν ὅμως δὲν τηρήσητε τὰς ἐντολὰς αὐτάς, τότε ὁ Θεὸς θὰ σᾶς ζητήσῃ λόγον καὶ διὰ τὴν ἀμέλειάν σας, ἀλλὰ καὶ διότι κατηργήσατε τὴν διδασκαλίαν μου.

3. Ὅποιος, τέλος, φυλάξει καὶ ἐφαρμόσει τὰς ἐντολάς μου, κρυφὰ καὶ φανερά, τότε καὶ ὁ Δεσπότης Θεὸς θὰ τὸν προστατεύσῃ ἀπὸ κάθε κακόν, καὶ θὰ τὸν σκεπάσῃ ἀπὸ τοὺς διαφόρους πειρασμούς, ποὺ ἐπιτίθενται, εἴτε μὲ κρυφὸν τρόπον, εἴτε μὲ φανερόν.

4. Ὁ ἴδιος ὁ Ἀββᾶς Ἡσαΐας εἶπεν:

—Ἐὰν συγκατοικοῦν μαζί σου ἀδελφοί, νὰ φροντίζῃς δι' αὐτοὺς μὲ αὐστηρότητα, χωρὶς νὰ τοὺς δίδῃς θάρρος, ἐὰν βεβαίως σὲ ἀκούουν καὶ ἐφαρμόζουν τὰς ὑποδείξεις σου, διότι πρέπει νὰ γνωρίζῃς, ὅτι θὰ δώσῃς λόγον εἰς τὸν Θεὸν δι' αὐτούς.

ς'. Τοῦ Ἀββᾶ Μάρκου.

ΟΛΑΛΩΝ ὀρθῶς ὀφείλει καὶ αὐτὸς ὡς παρὰ Θεοῦ λαμβάνειν τὰ ῥήματα· ἡ γὰρ ἀλήθεια οὐ τοῦ λαλοῦντος ἐστίν, ἀλλὰ τοῦ ἐνεργοῦντος Θεοῦ.

2. Κελεύειν ἀδελφοῖς λαχών, φύλαττε τὴν τάξιν σου, καὶ μὴ διὰ τοὺς ἀντιλέγοντας παρασιωπήσῃς τὰ δέοντα.

3. Ἐν οἷς μὲν γὰρ ἂν ὑπακούσωσι, μισθὸν ἕξεις ὑπὲρ τῆς ἐκείνων ἀρετῆς· ἐν οἷς δὲ παρακούσωσι, πάντως ἀφήσεις αὐτοῖς, καὶ λήψει τὰ ἴσα παρὰ τοῦ εἰρηκότος· «Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν».

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ὁ ὁποῖος διδάσκει ὀρθῶς, ἔχει ὑποχρέωσιν νὰ ἐφαρμόζῃ καὶ εἰς τὸν ἑαυτόν του αὐτὰ ποὺ διδάσκει τοὺς ἄλλους, ὡς νὰ λαμβάνῃ τὴν ἐντολὴν κατ' εὐθεῖαν ἀπὸ τὸν Θεόν. Διότι ἡ ἀλήθεια, ποὺ διδάσκει, δὲν εἶναι ἔμπνευσις καὶ κατόρθωμα αὐτοῦ ποὺ ὁμιλεῖ, ἀλλὰ τοῦ Θεοῦ, ποὺ ἐνεργεῖ διὰ μέσου αὐτοῦ ποὺ ὁμιλεῖ.

2. Ἐὰν σοῦ ἀνέθεσαν νὰ διοικήσῃς ἀδελφούς, πρόσεξε τὴν τάξιν σου, καὶ νὰ μὴ σιγήσῃς ἀπέναντι αὐτῶν ποὺ πεισμόνως ἀντιλέγουν εἰς τὰς συμβουλάς σου, ἀλλὰ νὰ τοὺς ὑποδείξῃς τὰ πρέποντα.

3. Ἔχε δὲ ὑπ' ὄψιν σου, ὅτι εἰς ὅσα σὲ ὑπακούσουν, θὰ ἔχῃς σὺ τὸν μισθὸν διὰ τὸ ἔργον τῆς ἀρετῆς, ποὺ θὰ πραγματοποιήσουν ἐκ τῶν λόγων σου· εἰς ὅσα πάλιν σοῦ παρακούσουν, μὴ ἀνησυχῇς· σὺ πάντως νὰ τοὺς συγχωρήσῃς, διὰ τὴν παρακοήν των, καὶ θὰ πάρῃς τὸν μισθὸν τῆς πνευματικῆς σου ἐργασίας, ἀπὸ Ἐκεῖνον, ποὺ εἶπε· «ἐὰν σεῖς συγχωρῆτε ἐξ ὅλης καρδίας τοὺς ἀνθρώπους ἐκείνους, ποὺ μὲ τὰς πράξεις των, σᾶς ἐλύπησαν, τότε καὶ ὁ Πατήρ σας ὁ οὐράνιος θὰ συγχωρήσῃ τὰς ἰδικάς σας ἁμαρτίας! Ἐὰν ὅμως σεῖς δὲν συγχωρήσητε ἐκείνους, ποὺ σᾶς ἔβλαψαν, τότε οὔτε καὶ ὁ Πατήρ σας θὰ συγχωρήσῃ τὰ ἰδικά σας ἁμαρτήματα» (Ματθ. ς' 14—15).





·:ὙΠΟΘΕϹΙϹ ΜΒ΄·:

Ὅτι οὐ δεῖ τινα τοὺς μὴ ὑποκειμένους αὐτῷ διδάσκειν ἢ ἐλέγχειν, κἂν ἁμαρτάνωσιν, εἰ μὴ παρ᾽ αὐτῶν αἰτηθῇ· ἀλλ᾽ οὐδὲ ἀδικουμένοις διεκδικεῖν.

Δὲν πρέπει κανεὶς νὰ διδάσκῃ ἢ νὰ ἐλέγχῃ ἐκείνους, οἱ ὁποῖοι δὲν ὑπάγονται εἰς τὴν ἐξουσίαν του, ἔστω καὶ ἐὰν ἁμαρτάνωσιν, ἐκτὸς ἐὰν ἤθελε ζητηθῇ τοῦτο ἀπὸ αὐτούς· ἀλλ᾽ οὔτε καὶ νὰ ἀναλαμβάνῃ τὴν ὑπεράσπισιν των, ὅταν ἀδικοῦνται.



Α΄. Ἐν τῷ Γεροντικῷ.



ΜΑΧΗΣΑΤΟ ποτε Παΐσιος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καθεζομένου ἐκεῖ τοῦ Ἀββᾶ Ποιμένος, ἐπὶ τοσοῦτον, ὥστε καὶ αἷμα ἀπὸ τὰς κεφαλὰς αὐτῶν καταῤῥυῆναι, καὶ οὐδὲν τὸ σύνολον ἐλάλησεν ὁ Γέρων αὐτοῖς.

2. Εἰσῆλθεν οὖν ὁ Ἀββᾶς Ἀνούβ, καὶ ἰδὼν αὐτοὺς λέγει τῷ Ἀββᾷ Ποιμένι· διατὶ ἀφῆκας τοὺς ἀδελφοὺς μαχομένους μηδὲν λαλήσας αὐτοῖς; Καὶ ἀπεκρίθη ὁ Γέρων· ἀδελφοί εἰσι καὶ πάλιν εἰρηνεύουσι. Καὶ λέγει ὁ Ἀββᾶς Ἀνούβ· οἶδας ὅτι οὕτως ἐποίησαν, καὶ λέγεις πάλιν εἰρηνεύουσιν;

3. Ἔφη ὁ Γέρων· θὲς εἰς τὴν καρδίαν σου ὅτι οὐκ ἤμην ὧδε· πρὸς γὰρ τὸν Θεὸν ἀποβλέπων ὁ Γέρων, οὐδὲ προσέσχε τοῖς παρ᾽ αὐτῶν γινομένοις, ὡς μὴ ὑποκειμένων αὐτῷ.

4. Ἔπεμψεν ἡ Ἀμμᾶς Σάῤῥα πρὸς τὸν Ἀββᾶν Παφνούτιον λέγουσα· ἔργον ἐποίησας Θεοῦ, ἐάσας ἀτιμασθῆναι τὸν ἀδελφόν σου; Καὶ εἶπεν ὁ Γέρων· ὡς ἔργον Θεοῦ ποιῶν, πρᾶγμα μετά τινος οὐκ ἔχω.

5. Ἠρωτήθη Γέρων· καλόν ἐστι μεσάσαι ἀντιλογίαν ἀδελφῶν; καὶ ἀπεκρίθη· φεῦγε τὰ τοιαῦτα· γέγραπται γὰρ διὰ τὸν δίκαιον· «βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος, καμμύων τοὺς ὀφθαλμούς, ἵνα μὴ ἴδῃ ἀδικίαν».

6. Ἔλεγεν ὁ Ἀββᾶς Ἀρσένιος, ὅτι ξένος Μοναχὸς εἰς ἀλλοτρίαν χώραν μηδὲν μεσαζέτω, καὶ ἀναπαύεται.

7. Παρέβαλέ ποτε ὁ Ἀββᾶς Μακάριος τῷ Ἀββᾷ Ἀντωνίῳ· καὶ ὁμιλήσας αὐτῷ, ὑπέστρεψεν εἰς τὴν Σκῆτιν. Ἦλθον δὲ οἱ Πατέρες εἰς ὑπάντησιν αὐτοῦ· καὶ ὡς ἐλάλουν, εἶπεν αὐτοῖς ὁ Γέρων· ἔφην τῷ Ἀββᾷ Ἀντωνίῳ, ὡς οὐκ ἔχω προσφορὰν ἐν τῷ τόπῳ ὑμῶν.

8. Καὶ ἤρξαντο οἱ Πατέρες λαλεῖν περὶ ἄλλων· καὶ οὐκ ἠρώτησαν τὴν ἀπόκρισιν μαθεῖν παρὰ τοῦ Γέροντος· οὔτε ὁ Γέρων αὐτοῖς εἶπε.

9. Τοῦτο γὰρ καί τις τῶν Πατέρων ἔλεγεν, ὅτι ἐὰν ἴδωσιν οἱ Πατέρες ὅτι

λανθάνει τοὺς ἀδελφοὺς τοῦ ἐρωτῆσαι περὶ πράγματος ὠφελοῦντος αὐτοῖς, βιάζονται ἑαυτοὺς εἰπεῖν τὴν ἀρχὴν τοῦ λόγου· εἶτα, ἐὰν μὴ ἀναγκασθῶσιν ὑπὸ τῶν ἀδελφῶν, οὐκέτι λαλοῦσι τὸν λόγον, ἵνα μὴ εὑρεθῶσι μὴ ἐπερωτώμενοι καὶ λαλοῦντες, καὶ ὡς ἀργολογία εὑρίσκεται.

10. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· ἐὰν οἰκῶν μετὰ ἀδελφῶν ἴδω πρᾶγμα παρὰ τὸ πρέπον, θέλεις λαλήσω; Ἀπεκρίθη ὁ Γέρων· ἐάν εἰσι μείζονές σου, ἢ συνηλικιῶταί σου, σιωπῶν μᾶλλον ἔχεις ἀνάπαυσιν· ἐν τούτῳ γὰρ σεαυτὸν ἐλάσσω ποιεῖς καὶ ἀμέριμνον.

11. Λέγει ὁ ἀδελφός· τί οὖν ποιήσω, Πάτερ; ταράσσουσι γάρ με τὰ πνεύματα. Ἔφη ὁ Γέρων· εἰ κάμνεις, ὑπόμνησον ἅπαξ ταπεινοφρονῶν· ἐὰν δὲ μὴ ἀκούσωσί σου, ἄφες τὸν κόπον σου ἐνώπιον τοῦ Θεοῦ, καταλιπὼν τὸ ἴδιον θέλημα.

12. Πρόσεχε δὲ μὴ ἐκφανῇς, ὅπως γένηται κατὰ Θεὸν ἡ μέριμνά σου· ὡς δὲ ὁρῶ, καλὸν μᾶλλον σιωπᾶν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ διεπληκτίσθησαν ὁ Παΐσιος μετὰ τοῦ ἀδελφοῦ του, τόσον πολύ, ὥστε ἔτρεχεν αἷμα ἀπὸ τὰ κεφάλια των· μαζί των ἐκάθητο καὶ ὁ Ἀββᾶς Ποιμήν, ὁ ὁποῖος οὔτε μίαν λέξιν δὲν τοὺς εἶπε καθ' ὅλην τὴν διάρκειαν τῆς διαμάχης.

2. Ἐν τῷ μεταξὺ εἰσῆλθεν ὁ Ἀββᾶς Ἀννούβ, ὅστις, μόλις τοὺς εἶδε, λέγει πρὸς τὸν Ἀββᾶν Ποιμένα:

—Εὐλογημένε, διατὶ ἄφησες τοὺς ἀδελφοὺς νὰ μαλώσουν, χωρὶς νὰ τοὺς εἰπῇς ἕνα λόγον;

—Ἀδελφοὶ εἶναι καὶ πάλιν θὰ συμφιλιωθοῦν—εἶπεν ὁ Γέρων.

—Βλέπεις, ὅτι ἔχουν καταιματωθῆ καὶ λέγεις πῶς θὰ συμφιλιωθοῦν πάλιν;—εἶπεν ἐκ νέου, ὁ Ἀββᾶς Ἀννούβ.

3. Ὁ Ἀββᾶς Ποιμήν, ἀποκαλύπτων τὴν αἰτίαν τῆς σιωπῆς, εἶπε:

—Βάλε εἰς τὴν καρδίαν σου, ὅτι δὲν ἤμουν ἐδῶ.

Πράγματι ὁ Γέρων εἶχεν ἐστραμμένον τὸν νοῦν του καὶ τὴν καρδίαν του πρὸς τὸν Θεόν, καὶ δὲν ἀντελήφθη τὰ συμβαίνοντα· τοῦτο δὲ συνέβη ἐπειδὴ οἱ φιλονεικήσαντες δὲν ἦσαν ὑποτακτικοί του.

4. Ἡ Ἀμμὰς Σάρρα ἔστειλε κάποτε τὴν ἑξῆς εἴδησιν πρὸς τὸν Ἀββᾶν Παφνούτιον: Ἔχεις τὴν γνώμην, ὅτι ἔκαμες ἔργον Θεοῦ μὲ τὸ νὰ ἀφήσῃς τὸν ἀδελφόν σου νὰ ἀτιμασθῇ;

Ὁ Ἀββᾶς Παφνούτιος τῆς ἀπήντησεν: Ἐπειδὴ ἀκριβῶς ἐπιθυμῶ νὰ ἐργάζωμαι τὸ ἔργον τοῦ Θεοῦ, δὲν ἔχω δοσοληψίας μὲ κανένα.

5. Ἠρώτησαν ἕνα Γέροντα:

—Εἶναι καλὸν νὰ συντελέσω εἰς τὴν ἐξομάλυνσιν τῶν διαφορῶν μεταξὺ δύο ἀδελφῶν;

—Καλὸν θὰ εἶναι—ἀπήντησεν ὁ Γέρων—νὰ ἀποφεύγῃς αὐτὰ τὰ ζητήματα· σχετικῶς ἔχει γραφῆ ὅτι ὁ δίκαιος ἄνθρωπος «ἀποφεύγει

νὰ ἀκούσῃ κρίσιν περὶ φόνου καὶ κλείει τοὺς ὀφθαλμούς του, διὰ νὰ μὴ ἴδῃ ἀδικίαν» (Ἡσ. λγ' 15).

6. Ὁ Ἀββᾶς Ἀρσένιος ἔλεγεν, ὅτι ὁ ξένος Μοναχὸς νὰ μὴ κάμῃ ποτὲ τὸν μεσάζοντα, μεταξὺ φιλονεικούντων, εἰς ξένον μέρος καὶ τότε θὰ ἔχῃ τὴν ἡσυχίαν του.

7. Κάποτε ὁ Ἀββᾶς Μακάριος ἐπεσκέφθη τὸν Ἀββᾶν Ἀντώνιον, καὶ ἀφοῦ συνωμίλησαν, ὑπέστρεψεν εἰς τὴν Σκήτην του. Ὅταν ἐπληροφορήθησαν τὴν ἐπιστροφὴν τοῦ Ἀββᾶ Μακαρίου οἱ Πατέρες, ἦλθον νὰ τὸν ἐπισκεφθοῦν· εἰς μίαν στιγμὴν τῆς συνομιλίας των τοὺς λέγει ὁ Ἀββᾶς Μακάριος:

—Εἶπον εἰς τὸν Ἀββᾶν Ἀντώνιον, ὅτι δὲν ἔχω προσφορὰν (1) εἰς τὸν τόπον σας.

8. Οἱ Πατέρες, ὡς νὰ μὴ ἤκουσαν, ἤρχισαν νὰ συζητοῦν ἄλλα θέματα καὶ οὔτε κὰν ἠρώτησαν τὸν Ἀββᾶν Μακάριον, τὶ τοῦ ἀπήντησεν ὁ Ἀββᾶς Ἀντώνιος. Ἀλλ' ὅμως οὔτε καὶ ὁ Ἀββᾶς Μακάριος τοὺς εἶπε ποίαν ἀπάντησιν ἔλαβεν.

9. Περὶ τοῦ αὐτοῦ ζητήματος ἕνας ἐκ τῶν Πατέρων ἔλεγεν: «Ὅταν οἱ Πατέρες ἴδουν ὅτι διαφεύγει τῆς προσοχῆς τῶν ἀδελφῶν νὰ ἐρωτήσουν περὶ πραγμάτων, ποὺ τοὺς ὠφελοῦν, πιέζουν τοὺς ἑαυτούς των νὰ κάμουν ἀρχὴν τῆς συζητήσεως ἐπὶ τοῦ ἀφορῶντος θέματος· ἐφ' ὅσον ὅμως διαπιστώσουν ἔλλειψιν ἐνδιαφέροντος ἀπὸ μέρους τῶν ἀδελφῶν καὶ μάλιστα δὲν ἐξαναγκασθῶσιν ὑπ' αὐτῶν διὰ νὰ εἴπουν τὴν συνέχειαν τοῦ λόγου, τότε σιωπῶσι, διὰ νὰ μὴ ὁμιλοῦν χωρὶς νὰ ἐρωτῶνται καὶ τοιουτοτρόπως περιπέσουν εἰς ἄσκοπον φλυαρίαν».

10. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

—Ἐὰν συγκατοικῶ μαζὶ μὲ ἄλλους ἀδελφοὺς καὶ ἰδῶ νὰ γίνεται κάτι ποὺ δὲν πρέπει, θέλεις νὰ ὁμιλήσω;

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν εἶναι μεγαλύτεροί σου, ἢ καὶ συνομήλικοί σου, εἶναι προτιμότερον νὰ σιωπήσῃς, διότι τότε θὰ ἔχῃς ἀνάπαυσιν. Εἰς τὴν περίπτωσιν αὐτὴν κάμνεις τὸν ἑαυτόν σου μικρότερον καὶ ἑπομένως καθίστασαι ἀμέριμνος.

11. Ὁ ἀδελφὸς ἠρώτησε πάλιν:

—Τί νὰ κάμω ὅμως, Πάτερ μου; Διότι μὲ ταράσσει ἡ συμπεριφορά των αὐτή.

Εἰς τὴν δευτέραν αὐτὴν ἐρώτησιν ὁ Γέρων ἀπήντησε:

---

1) Δὲν ἔχω προσφορὰν=δὲν ἔχω Λειτουργίαν, δὲν δύναμαι νὰ λειτουργήσω. Ἐν ἄλλοις γράφεται «ὡς οὐκ ἔχομεν προσφορὰν ἐν τῷ τόπῳ ἡμῶν». Διὰ τῆς φράσεως ταύτης ὁ Ἅγιος, ὅστις ἦτο Ἱερεύς, ἠννόει, προφανῶς, τὴν ἔλλειψιν προϋποθέσεών τινων πρὸς ἐπιτέλεσιν τῆς θείας Λειτουργίας.

—Ἐὰν ὑποφέρῃς ἀπὸ τὸν τρόπον τῆς συμπεριφορᾶς των, νὰ τὸ ὑποδείξῃς διὰ μίαν φορὰν μετὰ μεγίστης ταπεινοφροσύνης. Ἐὰν δὲν σὲ ἀκούσουν, τότε νὰ ἐγκαταλείψῃς πλέον τὸ θέλημά σου καὶ νὰ ἀφήσῃς τὸν κόπον σου ἐνώπιον τοῦ Θεοῦ.

12. Πρόσεχε δὲ νὰ μὴ ἐξωτερικεύσῃς τὴν ἐσωτερικήν σου δυσφορίαν, διὰ νὰ εἶναι τὸ ἐνδιαφέρον σου σύμφωνον μὲ τὸ θέλημα τοῦ Θεοῦ. Ὅπως ὅμως βλέπω, τὸ καλύτερον εἶναι ἡ σιωπή.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου.

ΑΔΕΛΦΟΙ, ἐὰν ἐξέλθητε μετ' ἀλλήλων εἰς πάρεργον, ἕκαστος ὑμῶν πρόσχῃ ἑαυτῷ, καὶ μὴ τῷ ἀδελφῷ αὐτοῦ· μὴ διδάξῃ αὐτόν, ἢ διατάξηται αὐτῷ· ἀλλ' ἐάσατε ποιοῦντα τὸ ἔργον, ποιεῖν ὡς ἂν βούληται.

2. Ἐὰν δὲ εἴπῃ, ποιήσατε ἀγάπην, διδάξατέ με ὅτι οὐκ οἶδα, καί ἐστιν ἄλλος ἐπιστάμενος, μὴ πονηρεύσηται, καὶ εἴπῃ ὅτι οὐκ οἶδα· οὐκ ἔστι γὰρ αὕτη ταπείνωσις κατὰ Θεόν, οὐδὲ ἔχει ἐν ἑαυτῷ τὴν τοῦ Θεοῦ ἀγάπην, ὁ αἰτηθεὶς καὶ μὴ θελήσας διδάξαι τὸν ἀδελφόν, ἀλλὰ πονηρίαν κατέχει· καὶ «οἱ πονηρευόμενοι» φησίν, «ἐξολοθρευθήσονται».

3. Ἐὰν ἀπέλθῃς εἰς τόπον οἰκῆσαι ἢ μόνος ἢ μετὰ τῶν πρὸ σοῦ, καὶ ἴδῃς ἐκεῖ τέχνην ἢ ἔργα ζημίαν προξενοῦντα, ἢ βλάβην ἔχοντα, ἢ μὴ ὄντα μοναχικά, μὴ ἀνοίξῃς τὸ στόμά σου ἐλέγξαι αὐτά, ἀλλ' εἰ οὐκ ἀναπαύῃ, ἄπελθε εἰς τόπον ἄλλον, καὶ φύλαξον τὴν γλῶσσάν σου, ἵνα μὴ καταλαλήσῃς αὐτῶν· θάνατος γάρ σοι ἐστὶ τοῦτο.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ ΜΟΥ, ἐὰν ἐξέλθετε μαζὶ εἰς δευτερεύουσαν ἐργασίαν(1), ὁ καθένας ἀπὸ σᾶς ἂς προσέχῃ τὸν ἑαυτόν του καὶ ὄχι τὸν ἀδελφόν του πῶς ἐργάζεται, μὴ ἐπιχειρήσητε νὰ τὸν διδάξετε, ἢ νὰ τὸν διατάξετε, ἀλλ' ἀφήσατέ τον, ἐργαζόμενον τὸ ἔργον του, νὰ ἐργάζεται ὅπως θέλει.

2. Ἐὰν ὅμως εἴπῃ ὁ ἀδελφός: ἀδελφοί μου, κάμετε ἀγάπην καὶ διδάξετέ με, πῶς νὰ ἐπιμεληθῶ τὸ ἔργον μου, διότι δὲν γνωρίζω, καὶ εὑρίσκεται μεταξύ σας αὐτὸς ποὺ γνωρίζει καλῶς τὴν τέχνην, ἂς μὴ πονηρευθῇ καὶ ἀπαντήσῃ, ὅτι δὲν γνωρίζω. Διότι αὐτὴ ἡ ἐνέργεια δὲν εἶναι κατὰ Θεὸν ταπείνωσις. Οὔτε ἔχει μέσα του ἀγάπην Θεοῦ ἐκεῖνος, ποὺ τοῦ ἐζητήθη νὰ διδάξῃ τὸν ἀδελφόν του καὶ δὲν τὸ ἠθέλησε. Ἀπ' ἐναντίας ἐμφορεῖται ἀπὸ πονηρίαν· εἶναι δὲ γραμμένον· «ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται» (Ψαλμ. λς' 9).

3. Ἐὰν μεταβῇς εἰς ἕνα τόπον, διὰ νὰ κατοικήσῃς ἢ μόνος σου

---

1) Οἱ Πατέρες ἐθεώρουν ὡς δευτερεύουσαν ἐργασίαν, «πάρεργον», πᾶσαν ἄλλην ἐνασχόλησιν ἐκτὸς τῶν κυρίως πνευματικῶν των καθηκόντων, τὴν προσευχὴν δηλαδή, τὴν μελέτην καὶ τὴν ἡσυχίαν ἐν γένει.

ἢ μαζὶ μὲ ἄλλους, ποὺ κατῴκουν εἰς τὸν τόπον αὐτὸν προηγουμένως ἀπὸ σέ, καὶ ἴδῃς ἐκεῖ τέχνην ἢ ἔργα ποὺ προξενοῦν ζημίαν, ἢ εἶναι βλαβερά, ἢ δὲν εἶναι καλογηρικά, μὴ ἀνοίξῃς τὸ στόμα σου νὰ τὰ ἐλέγξῃς· ἀλλ' ἐὰν δὲν ἀναπαύεσαι εἰς αὐτά, φύγε εἰς ἄλλον τόπον, καὶ φύλαξε τὴν γλῶσσαν σου, διὰ νὰ μὴ κατηγορήσῃς αὐτούς, ποὺ τὰ κάμουν. Ἡ κατάκρισις αὐτῶν θὰ εἶναι διὰ σὲ θάνατος.

Γ΄. Τοῦ Ἀββᾶ Μάρκου.

ΤΟΥ ἐν ὑποταγῇ σου μὴ ὄντος, σφάλμα μὴ προσενέγκῃς εἰς πρόσωπον· τοῦτο γὰρ ἐξουσίας μᾶλλον, ἢ συμβουλίας ἐστί.

2. Τὰ πληθυντικῶς λεγόμενα, γίνεται πᾶσιν ὠφέλιμα, ἑκάστῳ τὰ ἴδια κατὰ συνείδησιν ἐμφανίζοντα.

3. Παρ' ὧν οὐκ ἔχεις ὁμολογίαν ὑποταγῆς, μὴ φιλονείκει ἀνθισταμένοις τῇ ἀληθείᾳ, ἵνα μὴ μῖσος ἐγείρῃς κατὰ τὴν θείαν Γραφήν.

Ἑρμηνεία


ΑΥΤΟΝ ποὺ δὲν εὑρίσκεται εἰς τὴν ὑποταγήν σου, μὴ τὸν ἐλέγξῃς κατὰ πρόσωπον διὰ σφάλμα· ὁ τοιοῦτος ἔλεγχος εἶναι συνέπεια ἐξουσίας καὶ ὄχι συμβουλῆς.

2. Αὐτὰ ποὺ λέγονται (ὑπὸ μορφὴν συστάσεως ἢ ὑποδείξεως) γενικῶς καὶ ἀνωνύμως ἀποβαίνουν εἰς ὅλους ὠφέλιμα, διότι ἀποκαλύπτουν εἰς τὸν καθένα τὰς προσωπικάς του περιπτώσεις, ποὺ τὰς γνωρίζει μόνον ἡ συνείδησίς του.

3. Νὰ μὴ ἀντιδικῇς περὶ τῆς ἀληθείας μὲ ὅσους δὲν σοῦ ἔχουν δηλώσει ὑποταγὴν καὶ ἀντιστέκονται εἰς τὴν ἀλήθειαν, διὰ νὰ μὴ προκαλέσῃς ἄσκοπον μῖσος, ὅπως λέγει ἡ Ἁγία Γραφή (1).



1) Ἐν τῇ Ἁγίᾳ Γραφῇ ἀναφέρονται τὰ ἑξῆς· «μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε» (Παρ. θ΄ 8) καὶ «μῖσος ἐγείρει νεῖκος (τὸ μῖσος προκαλεῖ ἔριδας), πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία» (Παρ. ι΄ 12).



·:ὙΠΟΘΕΣΙΣ ΜΓ΄.:·

Ὅτι οὐ δεῖ τῶν ὑπηκόων καταυθεντεῖν ἢ τὰ μὴ ἀνήκοντα αὐτοῖς ἐπιτάττειν, καὶ ὅτι πᾶν τὸ ταπεινοφρόνως καὶ εὐσυνειδότως ἐπιταττόμενον, ἡ Χάρις εὐοδοῖ.

Δὲν πρέπει νὰ φερώμεθα μὲ αὐταρχικότητα εἰς τοὺς ὑποτακτικούς, οὔτε νὰ ἐπιβάλλωμεν εἰς αὐτοὺς ἔργα, τὰ ὁποῖα δὲν ἁρμόζει. Πᾶν ὅ,τι ἐπιβάλλεται μὲ ταπεινοφροσύνην καὶ καθαρὰν συνείδησιν, τὸ φέρει εἰς αἴσιον πέρας ἡ Χάρις τοῦ Θεοῦ.



Α΄. Ἐν τῷ Γεροντικῷ.



